









Ἡ ΤΟΥ

ἩΡΟΔΟΤΟΥ

ἉΛΙΚΑΡΝΑΣΣΕΩΣ

ἹΣΤΟΡΙΑ.

HERODOTI

HALICARNASSENSIS

HISTORIA.

EX EDITIONE JACOBI GRONOVII;

TOMIS NOVEM.

COLLATUMQUE NOVEM MUSIS OPUS. HOR.

ADJECTUS EST, EX EADEM EDITIONE, LIBER DE VITA HOMERI; VULGO SED FALSO, ADSCRIPTUS HERODOTO.

TOM. IV.

GLASGUAE:
IN AEDIBUS ACADEMICIS
EXCUDEBANT ROBERTUS ET ANDREAS FOULIS
ACADEMIAE TYPOGRAPHI
MDCCLXI.



ΤΩΝ ΤΟΥ

ἩΡΟΔΟΤΟΥ

ἹΣΤΟΡΙΩΝ

ΤΕΤΑΡΤΗ,

ΕΠΙΓΡΑΦΟΜΕΝΗ

ΜΕΛΠΟΜΕΝΗ.

HERODOTI

HISTORIARUM

LIBER QUARTUS,

QUI INSCRIBITUR

MELPOMENE.

ΤΩΝ ΤΟΥ

ΗΡΟΔΟΤΟΥ

ἹΣΤΟΡΙΩΝ

ΤΕΤΑΡΤΗ,

ΕΠΙΓΡΑΦΟΜΕΝΗ

ΜΕΛΠΟΜΕΝΗ.

ΜΕΤΑ δὲ τὴν Βαβυλῶνος αἵρεσιν ἐγένετο ἐπὶ Σκύθας αὐτοῦ Δαρείου ἔλασις. ἀνθεύσης γὰρ τῆς Ἀσίης ἀνδράσι, καὶ χρημάτων μεγάλων συνιόντων, ἐπεθύμησε ὁ Δαρεῖος τίσασθαι Σκύθας, ὅτι ἐκεῖνοι πρότεροι ἐσβαλόντες ἐς τὴν Μηδικὴν, καὶ νικήσαντες μάχῃ τοὺς ἀντιουμένους, ὑπῆρξαν ἀδικίης. τῆς γὰρ ἄνω Ἀσίης ἦρξαν (ὡς καὶ πρότερόν μοι εἴρηται) Σκύθαι ἔτεα δυῶν δέοντα τριήκοντα. Κιμμερίους γὰρ ἐπιδιώκοντες ἐσέβαλον ἐς τὴν Ἀσίην, καταπαύσαντες τῆς ἀρχῆς Μήδους. οὗτοι γὰρ, πρὶν ἢ Σκύθας ἀπικέ-

HERODOTI HISTORIARUM LIBER QUARTUS,

QUI INSCRIBITUR

MELPOMENE.

POST Babylonis expugnationem, ipse Darius adversus Scythas expeditionem fecit. Nam quum floreret viris Asia et magno pecuniae proventu, cupido incessit ei Scythas ulciscendi: quippe qui priores injuriam intulissent, quum Mediam ingressi essent, et eos qui restiterant, proelio vicissent. Etenim Scythae (quemadmodum et superius a me dictum est) duodetriginta annos superiori Asiae imperitaverunt. siquidem persequentes gentem Cimmeriam, ingressi Asiam, abrogarunt imperium Medis, qui ante ipsorum adventum Asiam obtinuerant. Sed Scythas,

quum octo et viginti annos peregre abfuiſſent, et poſt tantum temporis in patriam reverterentur, excepit non minor, quam Medicus fuerat, labor: offenderunt enim non exiguam militarem turbam ſibi occurrentem. Uxores namque eorum, in diuturna virorum abſentia cum ſervis conſueverant.

2. Occoecant autem Scythae ſervos omnes lactis gratia, quod potant, ita id facientes: Sufflatoria oſſa fiſtulis ſimillima ſumuntur, eaque genitalibus equarum impoſita ore inflantur. aliis inflantibus, alii equas emulgent. Hoc ideo ſe facere ajunt, quod venae equarum ſufflatae implentur et uber demittitur. Poſteaquam emulxere lac, in cava vaſa lignea diffundunt: et compungentes ad illa vaſa caecos lac agitant. cujus quod ſummum eſt

σθαι, ἦρχον τῆς Ἀσίης· τοὺς δὲ Σκύθας ἀποδημήσαντας ὀκτὼ καὶ εἴκοσι ἔτεα, καὶ διὰ χρόνου τοσούτου κατιόντας ἐς τὴν σφετέρην, ἐξεδέξατο οὐκ ἐλάσσων πόνος τοῦ Μηδικοῦ· εὗρον γὰρ ἀντιουμένην σφι στρατιὴν οὐκ ὀλίγην. αἱ γὰρ τῶν Σκυθέων γυναῖκες, ὥς σφι οἱ ἄνδρες ἀπῆσαν χρόνον πολλόν, ἐφοίτεον παρὰ τοὺς δούλους.

β'. Τοὺς δὲ δούλους οἱ Σκύθαι πάντας τυφλοῦσι, τοῦ γάλακτος εἵνεκε, τοῦ πίνουσι, ποιεῦντες ὧδε· ἐπεὰν φυσητῆρας λάβωσι ὀστεΐνους, αὐλοῖσι προσεμφερεστάτους, τούτους ἐσθέντες ἐς τῶν θηλέων ἵππων τὰ ἄρθρα, φυσῶσι τοῖσι στόμασι· ἄλλοι δὲ ἄλλων φυσεόντων ἀμέλγωσι [a]. Φασὶ δὲ τοῦδε εἵνεκα τοῦτο ποιέειν· τὰς φλέβας τε πίμπλασθαι φυσεωμένας τῆς ἵππου, καὶ τὸ οὖθαρ κατίεσθαι. ἐπὰν δὲ ἀμέλξωσι τὸ γάλα, ἐγχέαντες ἐς ξύλινα ἀγγήϊα κοῖλα, καὶ περιστίξαντες [b] κατὰ τὰ ἀγγήϊα τοὺς τυφλοὺς, δονέουσι τὸ γάλα. καὶ τὸ μὲν αὐτοῦ

[a] ἀμέλγουσι. [b] περιστήσαντες.

ἐπιςάμενον ἀπαρύσαντες, ἡγεῦνται [c] εἶναι τιμιώτερον· τὸ δ᾽ ὑπιςάμενον, ἧσσον τοῦ ἑτέρου. τούτων μὲν εἵνεκα ἅπαντα τὸν ἂν λάβωσι οἱ Σκύθαι, ἐκτυφλοῦσι. οὐ γὰρ ἀρόται εἰσὶ, ἀλλὰ νομάδες.

γ΄. Εκ τουτέων δὴ ὦν σφι τῶν δούλων κ̀ τῶν γυναικῶν ἐτράφη νεότης· οἳ ἐπεί τε ἔμαθον τὴν σφετέρην γένεσιν, ἠντιοῦντο αὐτοῖσι [d] κατιοῦσι ἐκ τῶν Μήδων· κ̀ πρῶτα μὲν τὴν χώρην ἀπετάμοντο, τάφρον ὀρυξάμενοι εὐρέαν, κατατείνουσαν ἐκ τῶν Ταυρικῶν οὐρέων ἐς τὴν Μαιῶτιν λίμνην, ἥπερ ἐςι μεγίςη· μετὰ δὲ, πειρεωμένοισι ἐσβάλλειν τοῖσι Σκύθῃσι ἀντικατιζόμενοι [e] ἐμάχοντο. γινομένης δὲ μάχης πολλάκις, κ̀ οὐ δυναμένων οὐδὲν πλέον ἔχειν τῶν Σκυθέων τῇ μάχῃ, εἷς αὐτῶν ἔλεξε τάδε,

‘ Οἷα ποιεῦμεν, ἄνδρες Σκύθαι; δούλοισι
‘ τοῖσι ἡμετέροισι μαχόμενοι, ἐλάσσονες [f]
‘ κτεινόμενοι γινόμεθα, κ̀ ἐκείνους κτείνοντες
‘ ἐλασσόνων τὸ λοιπὸν ἄρξομεν. νῦν ὦν μοι

[c] ἡγέονται. [d] ἠντιοῦντο τοῖσι. [e] ἀντικατιζόμενοι. [f] μαχόμενοι; αὐτοί τε ἐλάσσονες.

delibatur, pretiosiusque habetur: vilius autem, quod subsidit. Hujus rei gratia Scythae quemcunque capiunt, visu orbant. non enim agricolae sunt, sed pastores.

3. Ex his igitur servis et uxoribus Scytharum educata est juventus, quae suorum natalium conditione cognita, obviam perrexit iis quum reverterentur a Medis. Et primum quidem regionem intersepserunt ducendo latam fossam, quae a Tauricis montibus pertinebat ad Maeotin paludem maximam: deinde Scythis introire conantibus castris contra positis repugnabant. Saepe commissa pugna; quum nihil tamen Scythae pugnando proficerent, unus ex iis inquit, 'Quidnam rei 'facimus, viri Scythae? cum nostris ipso'rum servis dimicantes, dum interfici'mur, pauciores efficimur: et illos inter'ficiendo, paucioribus deinceps impera'bimus. Mihi videtur spiculis arcubusque

'omiſſis ſumenda cuilibet flagella quibus 'equos verberamus, et ad illos propius 'eundum. Nam quoad vident nos arma 'habentes, arbitrantur ſe ſimiles nobis, 'atque e ſimilibus eſſe: ubi nos pro ar-'mis verbera tenere viderint, tunc ſe no-'ſtros ſervos eſſe intelligentes, atque id 'agnoſcentes, non perſtabunt.'

4. Hoc Scythae quum audiſſent, ita ſibi faciendum putaverunt. Qua ex re perculſi illi, pugnae immemores, fugam capeſſerunt. Ita Scythae imperio ſunt Aſiae potiti: et rurſus a Medis ejecti, ad patriam hunc in modum reverſi. Hac de cauſſa Darius ulciſcendi cupidus, comparavit contra eos exercitum.

5. Scythae gentem ſuam omnium noviſſimam eſſe ajunt, idque hoc modo extitiſſe. Virum quendam in hac terra, quum deſerta eſſet, primum fuiſſe, nomine Targitaum, et ejus parentes dicunt

' δοκέει αἰχμὰς μὲν καὶ τόξα μετεῖναι,
' λαβόντα δὲ ἕκαστον τοῦ ἵππου τὴν μάστι-
' γα, ἰέναι ἄσσον αὐτῶν. μέχρι μὲν γὰρ
' ὥρεον ἡμέας ὅπλα ἔχοντας, οἱ δὲ ἐνόμιζον
' ὁμοῖοί τε καὶ ἐξ ὁμοίων ἡμῖν εἶναι· ἐπεὰν
' δὲ ἴδωνται μάστιγας ἀντὶ ὅπλων ἔχοντας,
' μαθόντες ὡς εἰσὶ ἡμέτεροι δοῦλοι, καὶ συγ-
' γνόντες τοῦτο, οὐκ ὑπομενέουσι.'

δ'. Ταῦτα ἀκούσαντες οἱ Σκύθαι, ἐποίευν ἐπιτελέα. οἱ δ' ἐκπλαγέντες τῷ [a] γινομένῳ, τῆς μάχης τε ἐπελάθοντο, καὶ ἔφευγον. οὕτω οἱ Σκύθαι τῆς τε Ασίης ἦρξαν, καὶ ἐξελασθέντες [b] αὖτις ὑπὸ Μήδων, κατῆλθον τρόπῳ τοιούτῳ ἐς [c] τὴν σφετέρην. τῶνδε εἵνεκα ὁ Δαρεῖος τίσασθαι βουλόμενος, συνήγειρε ἐπ' αὐτοὺς στράτευμα.

έ. Ὡς δὲ Σκύθαι λέγουσι, νεώτατον ἁπάντων ἐθνέων εἶναι τὸ σφέτερον. τοῦτο δὲ γενέσθαι ὧδε· ἄνδρα γενέσθαι πρῶτον ἐν τῇ γῇ ταύτῃ ἐούσῃ ἐρήμῳ, τῷ οὔνομα εἶναι Ταργίταον. τοῦ δὲ Ταργιτάου τούτου τοὺς

[a] ἐκπλαγέντες ἐπὶ τῷ. [b] ἐξελαθέντες. [c] τοιῷδε ἐς.

γονέας λέγουσι εἶναι (ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, λέγουσι δ' ὦν) Δία τε καὶ Βορυσθένεος τοῦ ποταμοῦ θυγατέρα. γένεος μὲν τοιούτου δή τινος γενέσθαι τὸν Ταργίταον· τούτου δὲ γενέσθαι παῖδας τρεῖς, Λειπόξαϊν, καὶ Αρπόξαϊν καὶ νεώτατον Κολάξαϊν. ἐπὶ τούτων ἀρχόντων, ἐκ τοῦ οὐρανοῦ φερόμενα χρύσεα ποιήματα, ἄροτρόν τε καὶ ζυγὸν καὶ σάγαριν καὶ φιάλην, πεσέειν ἐς τὴν Σκυθικήν. καὶ τὸν ἰδόντα πρῶτον τὸν πρεσβύτατον ἆσσον ἰέναι, βουλόμενον αὐτὰ λαβεῖν· τὸν δὲ χρυσὸν, ἐπιόντος καίεσθαι· ἀπαλλαχθέντος δὲ τούτου, προσιέναι τὸν δεύτερον· καὶ τὸν αὖτις ταυτὰ ποιέειν. τοὺς μὲν δὴ καιόμενον τὸν χρυσὸν ἀπώσασθαι· τρίτῳ δὲ τῷ νεωτάτῳ ἐπελθόντι καταςῆναι [f], καί μιν ἐκεῖνον κομίσαι ἐς ἑωϋτοῦ. καὶ τοὺς πρεσβυτέρους ἀδελφεοὺς πρὸς ταῦτα συγγνόντας, τὴν βασιληίην πᾶσαν παραδοῦναι τῷ νεωτάτῳ.

ϛ'. Απὸ μὲν δὴ Λειποξάϊος γεγονέναι

[f] κατασβῆναι.

esse (mihi quidem non credenda dicentes, dicunt tamen) Jovem, Borysthenisque fluvii filiam. Tali quidem genere ortum Targitaum: ejusque tres liberos fuisse, Lipoxain, Arpoxain, et novissimum Colaxain. His regnantibus, ex coelo in Scythicam regionem cecidisse ex auro facta, aratrum, jugum, securim, phialam. Quae quum primus omnium vidisset natu maximus, accessisse prope animo illa sumendi: sed eo accedente, aurum arsisse: hoc digresso, secundum accessisse, et itidem aurum arsisse. Ambobus ab ardenti auro summotis, quum minimus natu accederet tertius, aurum constitisse, et ab illo asportatum ad domum illius. eaque re majores fratres animadversa, totum regnum ad minimum detulisse.

6. Et a Lipoxai quidem progenitos

esse Scythas, quorum genus Auchatae appellatur: ab Arpoxai vero, qui medius fuit, eos qui Catiari et Traspies nominantur: a minimo autem natu, reges qui Paralatae vocantur. Omnibus autem nomen esse Scolotis, regis cognomen. sed Scythas Graeci appellavere.

7. Hunc in modum se extitisse Scythae memorant, et ex quo extiterunt, a primo rege Targitao, usque ad Darii adversus ipsos transitum, annos omnino mille non amplius, sed totidem fuisse. Aurum vero illud sacrum accuratissime custoditur a regibus, placantesque magnis sacrificiis, adeunt quotannis et qui aurum sacrum habens, die festo dormierit sub dio, is ab Scythis nunquam perennare fertur: et ob id dari ipsi tantum soli quantum uno die vectus equo circumire potest. Quum autem regio sit ingens, Colaxain

τύτυς τῶν Σκυθέων οἳ Αὐχάται γένος καλέονται· ἀπὸ δὲ τῦ μέσυ Αρποξάϊος, οἳ Κατίαροί τε κ᾽ Τράσπιες καλέονται· ἀπὸ δὲ τῦ νεωτάτυ αὐτέων, τοὺς βασιλῆας οἳ καλέονται Παραλάται. σύμπασι δὲ εἶναι ὔνομα Σκολότυς, τῦ βασιλῆος ἐπωνυμίην· Σκύθας δὲ Ἕλληνες ὠνόμασαν.

ζ. Γεγονέναι μέν νυν σφέας ὧδε [a] λέγυσι οἱ Σκύθαι· ἔτεα δέ σφι, ἐπεί τε γεγόνασι, τὰ σύμπαντα λέγυσι εἶναι ἀπὸ τῦ πρώτυ βασιλῆος Ταργιτάυ ἐς τὴν Δαρείου διάβασιν τὴν ἐπὶ σφέας, χιλίων οὐ πλέω, ἀλλὰ τοσαῦτα. τὸν δὲ χρυσὸν τοῦτον τὸν ἱρὸν φυλάσσουσι οἱ βασιλῆες ἐς τα μάλιστα, καὶ θυσίῃσι μεγάλῃσι ἱλασκόμενοι μετέρχονται ἀνὰ πᾶν ἔτος. ὃς δ᾽ ἂν ἔχων τὸν χρυσὸν τὸν ἱρὸν ἐν τῇ ὁρτῇ ὑπαίθριος καταχοιμηθῇ, οὗτος λέγεται ὑπὸ Σκυθέων οὐ διενιαυτίζειν· δίδοσθαι δέ οἱ διὰ τῦτο ὅσα ἂν ἵππῳ ἐν ἡμέρῃ μιῇ περιελάσῃ αὐτός. τῆς δὲ χώρης

[a] ὕτω.

ἐούσης μεγάλης, τριφασίας τὰς βασιλητας τοῖσι παισὶ τοῖσι ἑωϋτοῦ καταστήσασθαι Κολάξαϊν· καὶ τούτων μίην μεγίστην ποιῆσαι, ἐν τῇ τὸν χρυσὸν φυλάσσεσθαι· τὰ δὲ κατύπερθε πρὸς βορέην λέγουσι ἀνέμον τῶν ὑπεροίκων τῆς χώρης, οὐκ οἷά τε εἶναι ἔτι προσωτέρω οὔτε ὁρᾷν, οὔτε διεξιέναι, ὑπὸ πτερῶν κεχυμένων· πτερῶν γὰρ καὶ τὴν γῆν καὶ τὸν ἠέρα εἶναι πλέον, καὶ ταῦτα εἶναι τὰ ἀποκληΐοντα τὴν ὄψιν.

η΄. Σκύθαι μὲν ὧδε ὑπὲρ σφέων τε αὐτῶν, καὶ τῆς χώρης τῆς κατύπερθε λέγουσι. Ἑλλήνων δὲ οἱ τὸν πόντον οἰκέοντες, ὧδε· Ἡρακλέα ἐλαύνοντα τὰς Γηρυόνεω βοῦς, ἀπικέσθαι ἐς γῆν ταύτην ἐοῦσαν ἐρήμην, ἥν τινα νῦν Σκύθαι νέμονται. Γηρυόνεα δὲ οἰκέειν, ἔξω τοῦ πόντου, κατοικημένον, τὴν Ἕλληνες λέγουσι Ἐρύθειαν νῆσον, τὴν πρὸς Γηδείροισι τοῖσι ἔξω ἐπὶ Ἡρακλήων στηλέων ἐπὶ τῷ Ὠκεανῷ. τὸν δὲ Ὠκεανὸν λόγῳ μὲν λέγουσι ἀπὸ ἡλίου ἀνατολέων ἀρξά-

conſtituiſſe triplex filiis ſuis regnum: et in his unum maximum, ubi aurum aſſervatur. Quae autem ad ventum aquilonem, ultra eos, qui ſupremi incolae regionis ſunt, dicunt non poſſe ulterius neque proſpicere neque tranſire, propter fuſas pennas. Pennis enim tum terram, tum aërem oppletum eſſe: et has praepedire viſum.

8. Haec Scythae pariter de ſeipſis ac de regione ſuperiore narrant. At Graeci qui Pontum incolunt, ad hunc modum: Herculem, Geryonis vaccas agentem, in hanc perveniſſe terram, quae deſerta eſſet, quam nunc Scythae incolunt. Geryonem autem habitaſſe extra Pontum, incolam inſulae, quam Graeci Erythiam vocant prope Gades, quae ſunt extra ad columnas Herculis in Oceano. Oceanum vero, ab ortu ſolis incipientem, circum-

fluere terram omnem, verbis quidem affirmant, ſed re tamen non demonſtrant. Herculem illinc in regionem quae nunc Scythia vocatur veniſſe, adducta ſibi pelle leonis obdormiſſe (deprehenderat enim eum hiemans tempeſtas et gelu) et equas ejus a curru paſcentes medio tempore divina ſorte non comparuiſſe.

9. Eas experrectus quum indagaret, omnem regionem perluſtrans, tandem in terram quae dicitur Hylaea deveniſſe; ibique in antro quandam inveniſſe virginem mixtae naturae, Echidnam geminam: ſuperne quidem, natium tenus, feminam: inferius autem, ſerpentis. Eam conſpicatum Herculem atque admiratum, interrogaſſe nuncubi equas errabundas vidiſſet; Illamque reſpondiſſe, Se illas habere, ſed non prius reddituram ei quam cum ipſa coiiſſet: Herculem pro ea mercede

μενον, γῆν περὶ πᾶσαν ῥέειν, ἔργῳ δὲ οὐκ ἀποδεικνῦσι. ἐνθεῦτεν τὸν Ἡρακλέα ἀπικέσθαι ἐς τὴν νῦν Σκυθίην χώρην καλεομένην. καταλαβεῖν γὰρ αὐτὸν χειμῶνά τε ϗ κρυμόν. ἐπειρυσάμενον δὲ τὴν λεοντῆν, κατυπνῶσαι. τὰς δέ οἱ ἵππους τὰς ἀπὸ τȣ͂ ἅρματος νεμομένας ἐν τούτῳ τῷ χρόνῳ [a], ἀφανισθῆναι θείῃ τύχῃ.

θ'. Ὡς δὴ ἐγερθῆναι τὸν Ἡρακλέα, δίζεσθαι· πάντα δὲ τὰ τῆς χώρης ἐπεξελθόντα, τέλος ἀπικέσθαι ἐς τὴν Ὑλαίην καλεομένην γῆν. ἐνθαῦτα δὲ αὐτὸν εὑρεῖν ἐν ἄντρῳ μιξοπάρθενόν τινα Ἔχιδναν διφυέα. τῆς τὰ μὲν ἄνω ἀπὸ τῶν γλȣτέων, εἶναι γυναικός· τὰ δὲ ἔνερθεν, ὄφιος. ἰδόντα δὲ ϗ θωϋμάσαντα, ἐπείρεσθαί μιν εἴ κου ἴδοι ἵππȣς πλανωμένας. τὴν δὲ φάναι ἑωϋτὴν ἔχειν, ϗ ȣ̓κ ἀποδώσειν ἐκείνῳ πρὶν οἱ μιχθῆναι [b]. τὸν δὲ Ἡρακλέα μιχθῆναι ἐπὶ τῷ μισθῷ τούτῳ. κείνην τε δὴ ὑπερβαλέσθαι τὴν ἀπόδοσιν τῶν ἵππων, βου-

[a] χώρῳ. [b] πρὶν ἢ οἱ μιχθῆναι.

λομένην ὡς πλεῖστον χρόνον συνεῖναι τῷ Ἡρακλέϊ· καὶ τὸν, κομισάμενον, ἐθέλειν ἀπαλλάσσεσθαι. τέλος δὲ, ἀποδιδοῦσαν αὐτὴν εἰπεῖν, ‘ Ἵππους μὲν δὴ ταύτας ἀ-
‘ πικομένας ἐνθάδε, ἔσωσά τοι ἐγώ· σῶ-
‘ στρά τε σὺ παρέσχες. ἐγὼ γὰρ ἐκ σεῦ
‘ τρεῖς παῖδας ἔχω. τούτους, ἐπεὰν γένων-
‘ ται τρόφιες, ὅ, τι χρὴ ποιέειν, ἐξηγέο
‘ σύ· εἴτε αὐτοῦ κατοικίζω (χώρης γὰρ
‘ τῆσδε ἔχω τὸ κράτος αὐτὴ) εἴτε ἀπο-
‘ πέμπω παρά σε.’ τὴν μὲν δὴ ταῦτα ἐπειρωτᾷν. τὸν δὲ λέγουσι πρὸς ταῦτα εἰπεῖν, ‘ Ἐπεὰν ἀνδρωθέντας ἴδηαι τοὺς
‘ παῖδας, τάδε ποιεῦσα οὐκ ἂν ἁμαρτά-
‘ νοις. τὸν μὲν ἂν ὁρᾷς αὐτέων τόδε τὸ
‘ τόξον ὧδε διατεινόμενον, καὶ τῷ ζω-
‘ στῆρι τῷδε καταζωννύμενον, τοῦτον μὲν
‘ τῆσδε τῆς χώρης οἰκήτορα ποιεῦ. ὃς
‘ δ’ ἂν τουτέων τῶν ἔργων τῶν ἐντέλ-
‘ λομαι λίπηται, ἔκπεμπε ἐκ τῆς χώ-
‘ ρης. καὶ ταῦτα ποιεῦσα, αὐτή τε εὐφρα-

cum illa concubuisse. Sed quum illa differret reddere equas, cupida diutissime cum Hercule concumbendi, at hic cuperet receptis equis abire, ad postremum illis redditis eam dixisse, ‘ Has ego tibi equas ‘ quae huc venerant, servavi: tu earum ‘ servatarum pretium solvisti. Concepi e-‘ nim ex te filios tres: qui ubi adoleve-‘ rint, expone quid facere debeam; utrum ‘ hîc praebeo domicilium, (nam sola ‘ hujus regionis imperium teneo) an ad ‘ te mitto?’ Haec percontatae respondisse, ‘ Posteaquam eos in virilem aetatem ‘ adolevisse videris, si ita facies non de-‘ linques: quem animadverteris eorum ‘ hunc arcum ita tendentem, et hoc bal-‘ teo ita praecinctum, eum tu hujus regi-‘ onis incolam effice: qui autem his o-‘ peribus quae mando non erit par, eum ‘ hinc ablegabis. Haec exequendo et ip-

'ſa laetaberis, et praeceptis meis obtem-
'perabis.'

10. Atque ita quidem Herculem, poſtquam adduxit alterum arcum, (duos enim hucuſque geſtabat) et balteum inſuper monſtraſſet, illi tradidiſſe et arcum et balteum, qui balteus in extrema commiſſura haberet auream phialam: et his donatis abiiſſe. Illam pueris natis quum in virilem aetatem adoleverunt, partim nomina impoſuiſſe, uni, Agathyrſo; ſequenti, Gelono; minimo, Scythae: partim eandem mandatorum memorem illa peregiſſe: et duos quidem filiorum, Agathyrſum ac Gelonum, qui propoſito certamini non ſuffeciſſent, a matre ablegatos e regione exceſſiſſe: Scytham vero minimum natu qui rem compleſſet, ibidem remanſiſſe: et ab illo Scytha Herculis *filio* progeneratos qui deinceps fuerint reges Scytharum: ab illa autem phiala, Scythas

‘ κέαι, καὶ τὰ ἐντεταλμένα ποιήσεις.’

ι΄. Τὸν μὲν δὴ εἰρύσαντα τῶν τόξων τὸ ἕτερον (δύο γὰρ δὴ φορέειν τέως Ἡρακλέα) καὶ τὸν ζωστῆρα προσδείξαντα, παραδοῦναι τὸ τόξον τε καὶ τὸν ζωστῆρα, ἔχοντα ἐπ᾽ ἄκρης τῆς συμβολῆς φιάλην χρυσέην· διδόντα δὲ, ἀπαλλάσσεσθαι. τὴν δὲ, ἐπεί οἱ γενομένους τοὺς παῖδας ἀνδρωθῆναι, τοῦτο μέν σφι οὐνόματα θέσθαι· τῷ μὲν, Ἀγάθυρσον, αὐτέων· τῷ δ᾽ ἑπομένῳ, Γελωνόν· Σκύθην δὲ, τῷ νεωτάτῳ· τοῦτο δὲ, τῆς ἐπιτολῆς μεμνημένην αὐτὴν, ποιῆσαι τὰ ἐντεταλμένα. καὶ δὴ δύο μὲν τῶν [c] παίδων τόν τε Ἀγάθυρσον καὶ τὸν Γελωνὸν οὐκ οἵους τε γενομένους ἐξικέσθαι πρὸς τὸν προκείμενον ἄεθλον, οἴχεσθαι ἐκ τῆς χώρης, ἐκβληθέντας ὑπὸ τῆς γειναμένης. τὸν δὲ νεώτατον [d] αὐτέων Σκύθην ἐπιτελέσαντα, καταμεῖναι ἐν τῇ χώρῃ. καὶ ἀπὸ μὲν Σκύθεω τοῦ Ἡρακλέος γενέσθαι τοὺς αἰεὶ βασιλῆας γινομένους Σκυθέων. ἀπὸ δὲ τῆς φιά-

[c] μὲν οἱ τῶν. [d] νεώτερον.

λης, ἔτι καὶ ἐς [a] τόδε φιάλας ἐκ τῶν ζωστήρων φορέειν Σκύθας. τὸ δὴ μοῦνον μηχανᾶσθαι τὴν μητέρα Σκύθην.

ια΄. Ταῦτα δὲ Ἑλλήνων οἱ τὸν Πόντον οἰκέοντες λέγουσι. ἔστι δὲ καὶ ἄτερος λόγος ἔχων ὧδε· (τῷ μάλιστα λεγομένῳ αὐτὸς πρόσκειμαι·) Σκύθας τοὺς νομάδας, οἰκέοντας ἐν τῇ Ἀσίῃ, πολέμῳ πιεσθέντας [b] ὑπὸ Μασσαγετέων, οἴχεσθαι διαβάντας ποταμὸν Ἀράξην [c] ἐπὶ γῆν τὴν Κιμμερίην. τὴν γὰρ νῦν νέμονται Σκύθαι, αὕτη λέγεται τοπαλαιὸν εἶναι Κιμμερίων. τοὺς δὲ Κιμμερίους, ἐπιόντων Σκυθέων, βουλεύεσθαι, ὡς στρατοῦ ἐπιόντος μεγάλου. καὶ δὴ τὰς γνώμας σφέων κεχωρισμένας, ἐντόνους μὲν ἀμφοτέρας, ἀμείνω δὲ τὴν τῶν βασιλήων. τὴν μὲν γὰρ δὴ τοῦ δήμου φέρειν γνώμην, ὡς ἀπαλλάσσεσθαι πρῆγμα εἴη, μηδὲ πρὸ πολλοῦ δεόμενα [d] κινδυνεύειν· τὴν δὲ τῶν βασιλήων, διαμάχεσθαι περὶ τῆς χώρης τοῖσι ἐπιοῦσι. οὔκων δὴ ἐθέλειν πείθεσθαι

[a] ἔτι δὲ καὶ ἐς. [b] πιεσθέντας. [c] Ἀράξεα. [d] δεόμενον.

ad hanc usque aetatem phialas in balteis ferre: et id solum Scythae matrem excogitasse.

11. Haec Graeci qui habitant in Ponto referunt. Fertur et alius sermo ita habens, cui ipse praecipue assentior: Scythas Nomadas, qui Asiam incolunt, quum a Massagetis bello vexarentur, Araxe transmisso, in Cimmeriam abiisse. nam regio quam nunc Scythae incolunt, ea fertur olim fuisse Cimmeriorum. Sed invadentibus Scythis Cimmerios, quum deliberarent, tanquam magno irruente exercitu, in sententia diversos fuisse; utraque quidem rigida, sed regum meliore. nam populum quidem sensisse consultius fore, si excederent, neque quod jampridem precabantur, periclitarentur *pugna:* at reges, pro regione cum invasoribus dimicandum. Ita quum neutris alteri obtemperare vellent,

et populus consilium caperet sine proelio demigrandi, tradita invadentibus regione; reges vero, in sua potius patria occumbentes jacere, nec una cum plebe fugiendum censuisse, quot bona habuissent, et quot mala evidentia habituri essent patria profugi, reputantes: haec illos sentientes, dissedisse et inter se decertasse, utrosque numero pares: et omnes qui ab popularibus essent occisi, fuisse a populo Cimmeriorum sepultos ad flumen Tyren: et eorum adhuc sepulcrum manifestum est. Sepultis his, illum e regione migrasse: quam desertam supervenientes Scythas occupavisse,

12. Extantque adhuc in Scythia tum muri Cimmerii, tum trajectus Cimmerii, tum regio nomine Cimmeria est, et Bosporus qui Cimmerius appellatur. Constat

οὔτε τοῖσι βασιλεῦσι τὸν δῆμον, οὔτε τῷ δήμῳ τοὺς βασιλῆας. τοὺς μὲν δὴ ἀπαλλάσσεσθαι βουλεύεσθαι ἀμαχητὶ, τὴν χώρην παραδόντας [e] τοῖσι ἐπιοῦσι· τοῖσι δὲ βασιλεῦσι δόξαι ἐν τῇ ἑωϋτῶν κέεσθαι ἀποθανόντας, μηδὲ συμφεύγειν τῷ δήμῳ· λογισαμένους ὅσα τε ἀγαθὰ πεπόνθασι, καὶ ὅσα φεύγοντας ἐκ τῆς πατρίδος κακὰ ἐπίδοξα καταλαμβάνει. ὡς δὲ δόξαι σφι ταῦτα, διαστάντας, καὶ ἀριθμὸν ἴσους γενομένους, μάχεσθαι πρὸς ἀλλήλους. καὶ τοὺς μὲν ἀποθανόντας πάντας ὑπ' ἑωϋτῶν, θάψαι τὸν δῆμον τῶν Κιμμερίων παρὰ ποταμὸν Τύρην· καί σφεων ἔτι δῆλός ἐστι ὁ τάφος. θάψαντας δὲ, οὕτω τὴν ἔξοδον ἐκ τῆς χώρης ποιέεσθαι. Σκύθας δὲ ἐπελθόντας, λαβεῖν ἐρήμην τὴν χώρην.

ϛʹ. Καὶ νῦν ἔστι μὲν ἐν τῇ Σκυθικῇ Κιμμέρια τείχεα, ἔστι δὲ πορθμήϊα Κιμμέρια. ἔστι δὲ καὶ χώρη οὔνομα Κιμμερίη· ἔστι δὲ Βόσπορος, Κιμμέριος καλεόμενος.

[e] παραδιδόντας.

φαίνονται δὲ οἱ Κιμμέριοι φεύγοντες ἐς τὴν Ἀσίην τοὺς Σκύθας, καὶ τὴν Χερσόνησον κτίσαντες, ἐν τῇ νῦν Σινώπη πόλις Ἑλλὰς οἴκισται. φανεροὶ δέ εἰσι καὶ οἱ Σκύθαι διώξαντες αὐτοὺς, καὶ ἐσβαλόντες ἐς γῆν τὴν Μηδικὴν, ἁμαρτόντες τῆς ὁδοῦ. οἱ μὲν γὰρ Κιμμέριοι αἰεὶ τὴν παρὰ θάλασσαν ἔφευγον· οἱ δὲ Σκύθαι, ἐν δεξιῇ τὸν Καύκασον ἔχοντες, ἐδίωκον· ἐς οὗ [e] ἐσέβαλον ἐς τὴν Μηδικὴν γῆν, ἐς μεσόγαιαν τῆς ὁδοῦ τραφθέντες.

ιγ'. Οὗτος δὲ ἄλλος ξυνὸς Ἑλλήνων τε καὶ βαρβάρων γενόμενος λόγος εἴρηται. ἔφη δὲ Ἀριστέης ὁ Καυστροβίου, ἀνὴρ Προκοννήσιος, ποιέων ἔπεα, ἀπικέσθαι ἐς Ἰσσηδόνας, φοιβόλαμπτος γενόμενος· Ἰσσηδόνων ὑπεροικέειν [f] Ἀριμασποὺς, ἄνδρας μουνοφθάλμους. ὑπὲρ δὲ τούτων, τοὺς χρυσοφύλακας γρῦπας· τούτων δὲ, τοὺς Ὑπερβορέους, κατήκοντας ἐπὶ θάλασσαν. τούτους ὦν πάντας, πλὴν Ὑπερβορέων, ἀρξάντων Ἀριμασπῶν,

[e] ἐς ὃ. [f] Ἰσσηδόνων δ' ὑπεροικέειν.

autem Cimmerios in Asiam fugisse Scythas, et Chersonesum condidisse, ubi nunc Sinope Graeca urbs sita est. Apparet etiam Scythas in persequendis illis Mediam intrasse, via aberrantes. nam Cimmerii quidem fugientes, iter semper juxta mare tenebant: Scythae autem ad dexteram Caucasum habentes, eos insequebantur, donec ingressi sunt Mediam, itinere in mediterranea converso.

13. Alia quoque fertur communis Graecorum barbarorumque narratio: Aristeas quidam Proconnesius, versificator, Caustrobii filius, memoravit se Phoebo instinctum venisse ad Issedonas: supra hos incolere Arimaspos, viros unoculos: et item supra hos esse grypas, qui aurum asservent: ac super hos esse Hyperboreos, ad mare pertinentes. Hos autem omnes, praeter Hyperboreos, Arimaspis autori-

bus, aſſidue finitimis bellum inferre, et ab Arimaſpis exterminari Iſſedones, ab Iſſedonibus Scythas: a Scythis autem vexatos Cimmerios, qui ad auſtrale mare incolebant, regionem relinquere. Itaque ne Ariſteas quidem cum Scythis de ea regione conſentit.

14. Qui unde fuerit, qui haec retulit, dictum eſt: ſed a me dicetur item, quidnam de eodem viro in Proconneſo et Cyzico audierim. Ariſteam enim ajunt, quum nullo ſuae civitatis eſſet inferior genere, ingreſſum in Proconneſo fullonicam officinam, deceſſiſſe: fullonemque occluſa officina, abiiſſe denunciatum rem propinquis defuncti. Diſſipatoque jam per urbem rumore Ariſteam eſſe vita functum, in quaeſtiones hoc affirmantibus quendam veniſſe Cyzicenum, ex urbe Artace profectum, qui diceret ſibi occurriſſe eunti Cyzicum, ac fuiſſe colloquutum. Et

αἰεὶ τοῖσι πλησιοχώροισι ἐπιτίθεσθαι· καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρης Ἰσσηδόνας· ὑπὸ δὲ Ἰσσηδόνων, Σκύθας. Κιμμερίους δὲ οἰκέοντας ἐπὶ τῇ νοτίῃ θαλάσσῃ; ὑπὸ Σκυθέων πιεζομένους, ἐκλείπειν τὴν χώρην. οὕτω οὐδὲ οὗτος συμφέρεται περὶ τῆς χώρης ταύτης Σκύθῃσι.

ιδʹ. Καὶ ὅθεν μὲν ἦν Ἀριστέης ὁ ταῦτα εἴπας, εἴρηται. τὸν δὲ περὶ αὐτοῦ ἤκουον λόγον ἐν Προκοννήσῳ καὶ Κυζίκῳ, λέξω. Ἀριστέην γὰρ λέγουσι, ἐόντα τῶν ἀστῶν οὐδενὸς γένος [a] ὑποδεέστερον, ἐσελθόντα ἐς κναφήϊον ἐν Προκοννήσῳ, ἀποθανεῖν. καὶ τὸν κναφέα κατακληΐσαντα τὸ ἐργαστήριον, οἴχεσθαι ἀγγελέοντα τοῖσι προσήκουσι τῷ νεκρῷ. ἐσκεδασμένου δὲ ἤδη τοῦ λόγου ἀνὰ τὴν πόλιν ὡς τεθνηὼς [b] εἴη ὁ Ἀριστέης, ἐς ἀμφισβασίας [c] τοῖσι λέγουσι ἀπικνέεσθαι ἄνδρα Κυζικηνὸν, ἥκοντα ἐξ Ἀρτάκης πόλιος· φάντα συντυχεῖν τέ οἱ ἰόντι ἐπὶ Κυζίκου, καὶ ἐς λόγους ἀπικέσθαι. καὶ τοῦτον μὲν ἐντεταa γένος. b τεθνηκὼς. c MS. ἀμφισβασίας.

μένως ἀμφισβητέειν· τοὺς δὲ προσήκοντας τῷ νεκρῷ ἐπὶ τὸ κναφήϊον παρεῖναι, ἔχοντας τὰ πρόσφορα, ὡς ἀναιρησομένους· ἀνοιχθέντος δὲ τοῦ οἰκήματος, οὔτε τεθνεῶτα, οὔτε ζῶντα φαίνεσθαι Ἀριστέην· μετὰ δὲ, ἑβδόμῳ ἔτεϊ φανέντα αὐτὸν ἐς Προκόννησον, ποιῆσαι τὰ ἔπεα ταῦτα τὰ νῦν ὑπ' Ἑλλήνων Ἀριμάσπεα καλέεται· ποιήσαντα δὲ, ἀφανισθῆναι τοδεύτερον.

ις'. Ταῦτα μὲν αἱ πόλιες αὗται λέγουσι. τὰ δὲ οἶδα Μεταποντίνοισι τοῖσι ἐν Ἰταλίῃ συγκυρήσαντα μετὰ τὴν ἀφάνισιν τὴν δευτέρην Ἀριστέω ἔτεσι [d] τεσσεράκοντα καὶ τριηκοσίοισι, ὡς ἐγὼ συμβαλλόμενος ἐν Προκοννήσῳ τε καὶ Μεταποντίῳ εὕρισκον. Μεταποντῖνοι φασὶ [e] αὐτὸν Ἀριστέην φανέντα σφι ἐς τὴν πόλιν, κελεῦσαι βωμὸν Ἀπόλλωνι ἱδρύσασθαι, καὶ Ἀριστέω τοῦ Προκοννησίου ἐπωνυμίην ἔχοντα ἀνδριάντα παρ' αὐτὸν ἱστάναι· φάναι γάρ σφι τὸν Ἀπόλλωνα Ἰταλιωτέων μούνοισι δὴ ἀπικέσθαι ἐς

[d] Ἀριστέω τοῦ Προκοννησίου ἔτεσι. [e] Μεταποντῖνοι γάρ φασι.

quum id iste contendendo asseveraret, propinquos mortui ad fullonicam praesto fuisse, habentes quae ad efferendos homines expediunt: sed aperta domo, Aristeam nec mortuum nec vivum comparuisse; septimoque deinde anno, quum in Proconneso comparuisset, eos versus fecisse, qui nunc a Graecis Arimaspei vocantur; quibus conditis, rursus evanuisse.

15. Haec quidem istae civitates commemorant: sed haec ego novi evenisse Metapontinis qui sunt in Italia, trecentis et quadraginta annis post secundum recessum Aristeae, quemadmodum conjiciens et in Proconneso et apud Metapontinos inveni. Metapontini enim ajunt ipsum Aristeam, quum in urbe ipsorum apparuisset, jussisse aram Apollini extrui, et juxta eam erigi statuam, quae cognomen Aristeae Proconnesii haberet: dixisse enim ipsis Italiotarum solis Apollinem in

regionem venisse, et se illum affectari qui nunc Aristeas esset; tum vero quum deum affectaretur, corvum fuisse: et istum haec loquutum evanuisse. Eoque ajunt Metapontini se Delphos misisse sciscitatum ex Deo, quodnam illud hominis esset spectrum, sibique praecepisse Pythiam ut dicto audientes illi essent. melius enim cum ipsis actum iri, si parerent. Se igitur haec admittentes perfecisse. Et nunc statua extat cognomine Aristeae, juxta statuam ipsam Apollinis, in foro extructam, circumstantibus in orbem lauris.

16. Haec de Aristea hactenus. Regione autem de qua hic sermo dicere instituit, quidnam sit ulterius, nemo exploratum habet. neque enim id inquirere ab aliquo potui, qui se diceret nosse quod ipse vidisset; sicut nec ullum Aristeas, cujus paulo ante ista feci mentionem, ne-

τὴν χώρην, καὶ αὐτός οἱ ἕπεσθαι ὁ νῦν ἐὼν Αριστέης· τότε δὲ ὅτε εἵπετο τῷ θεῷ, εἶναι κόραξ· καὶ τὸν, εἰπόντα ταῦτα, ἀφανισθῆναι· σφέας δὲ Μεταποντῖνοι λέγουσι ἐς Δελφοὺς πέμψαντας, τὸν θεὸν ἐπειρωτᾷν ὅ, τι τὸ φάσμα τοῦ ἀνθρώπου εἴη· τήν τε Πυθίην σφέας κελεύειν πείθεσθαι τῷ φάσματι· πειθομένοισι δὲ, ἄμεινον συνοίσεσθαι. καί σφεας δεξαμένους ταῦτα, ποιῆσαι ἐπιτελέα. καὶ νῦν ἕστηκε [a] ἀνδριὰς ἐπωνυμίην ἔχων Αριστέω, παρ' αὐτῷ τῷ ἀγάλματι τοῦ Απόλλωνος. περὶ δὲ αὐτὸν δάφναι ἑστᾶσι· τὸ δὲ ἄγαλμα ἐν τῇ ἀγορῇ ἵδρυται.

ιϛ'. Αριστέω μέν νυν πέρι τοσαῦτα εἰρήσθω. τῆς δὲ γῆς τῆς πέρι ὁ λόγος ὅδε ὥρμηται λέγεσθαι, οὐδεὶς οἶδε ἀτρεκέως ὡς ὅ,τι τὸ κατύπερθέ ἐστι. οὐδενὸς γὰρ δὴ αὐτόπτεω εἰδέναι φαμένου δύναμαι πυθέσθαι· οὐδενὸς γὰρ [b] οὐδὲ Αριστέης, τοῦπερ ὀλίγῳ πρότερον τούτων μνήμην ἐποιεύμην, οὐδὲ

[a] ἕστηκε. [b] οὐδὲ γάρ.

οὗτος προσωτέρω Ἰσσηδόνων, ἐν αὐτοῖσι τοῖσι ἔπεσι ποιέων, ἔφησε ἀπικέσθαι· ἀλλὰ τὰ κατύπερθε ἔλεγε ἀκοῇ, φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα λέγοντας. ἀλλ' ὅσον μὲν ἡμεῖς ἀτρεκέως ἐπὶ μακρότατον οἷοί τ' ἐγενόμεθα ἀκοῇ ἐξικέσθαι, πᾶν εἰρήσεται.

ιζ'. Ἀπὸ τοῦ Βορυσθενεϊτέων ἐμπορίου (τοῦτο γὰρ τῶν παραθαλασσίων μεσαίτατόν ἐστι πάσης τῆς Σκυθίης·) ἀπὸ τούτου πρῶτοι Καλλιπίδαι νέμονται, ἐόντες Ἕλληνες Σκύθαι. ὑπὲρ δὲ τούτων, ἄλλο ἔθνος, οἳ Ἀλαζόνες καλέονται. οὗτοι δὲ καὶ οἱ Καλλιπίδαι τὰ μὲν ἄλλα κατὰ ταυτὰ Σκύθῃσι ἐπασκέουσι· σῖτον δὲ καὶ σπείρουσι, καὶ σιτέονται καὶ κρόμμυα καὶ σκόρδα [c] καὶ φακοὺς καὶ κέγχρους. ὑπὲρ δὲ Ἀλαζόνων οἰκέουσι Σκύθαι ἀροτῆρες, οἳ οὐκ ἐπὶ σιτήσει σπείρουσι τὸν σῖτον, ἀλλ' ἐπὶ πρήσει. τούτων δὲ κατύπερθε οἰκέουσι Νευροί. Νευρῶν δὲ τὸ πρὸς βορέην ἄνεμον, ἔρημον ἀνθρώπων, ὅσον

[c] σκόροδα.

que iſte in iis quos fecit verſibus, ait ſe ultra Iſſedones proceſſiſſe: ſed ulteriora fatebatur auditu, teſtatus Iſſedones illa commemorare. Verum a nobis, quoad longiſſime auditu penetrare liquide potuimus, omne referetur.

17. Ab emporio Boryſthenitarum (hoc enim ex maritimis totius Scythiae eſt maxime medium) ab eo primi incolunt Callipidae, qui ſunt Graeci Scythae. ſuper hos alia gens, qui vocantur Halizones. Horum utrique in ceteris ſervant ritum Scytharum; ſed frumentum ferunt, eoque veſcuntur, et caepe et allio et lente et milio. Supra Halizones autem incolunt Scythae aratores, qui non ad edendum ferunt triticum, ſed ad vendendum. Supra hos incolunt Neuri: quorum tractus qui ad aquilonem vergit, quantum nos ſcimus, ab hominibus deſertus eſt. At-

que hae quidem nationes juxta flumen Hypanin colunt, ad occidentalem partem Borysthenis.

18. Verum transmisso Borysthene a mari prima est Hylaea: dehinc habitant Scythae agricolae, quos Graeci qui ad Hypanin incolunt, Borysthenitas appellant, ipsi vero se Olbiopolitas. Hi igitur agricolae Scythae colunt quidem quod patet ad auroram, trium dierum iter, pertinentes ad flumen nomine Panticapem: quod vero ad ventum aquilonem, undecim dierum navigatione per Borysthenem. tractus autem ulterior his, in multum sane spatii desertus est. Ultra quam solitudinem habitant Androphagi, *id est, virorum carne vescentes*, separata natio, ac nequaquam Scythica. At supra hos deserta jam proculdubio omnia, nec ulla hominum gens, quantum nos scimus.

19. Quae vero ad latus orientale horum Scytharum, qui agricolae sunt, plaga

ἡμεῖς ἴδμεν. ταῦτα μὲν παρὰ τὸν Ὕπανιν ποταμόν ἐστι ἔθνεα πρὸς ἑσπέρης [d] τοῦ Βορυσθένεος.

ιη'. Ἀτὰρ διαβάντι τὸν Βορυσθένεα ἀπὸ θαλάσσης πρῶτον μὲν ἡ Ὑλαίη· ἀπὸ δὲ ταύτης, ἄνθρωποι οἰκέουσι Σκύθαι γεωργοί· τοὺς Ἕλληνες οἱ οἰκέοντες ἐπὶ τῷ Ὑπάνι ποταμῷ καλέουσι Βορυσθενεΐτας· σφέας δὲ αὐτοὺς, Ὀλβιοπολίτας. οὗτοι ὦν οἱ γεωργοὶ Σκύθαι νέμονται τὸ μὲν πρὸς τὴν ἕω, ἐπὶ τρεῖς ἡμέρας ὁδοῦ κατήκοντες ἐπὶ ποταμὸν τῷ οὔνομα κεῖται Παντικάπης· τὸ δὲ πρὸς βορέην ἄνεμον, πλόον ἀνὰ τὸν Βορυσθένεα ἡμερέων ἕνδεκα. ἤδη δὲ κατύπερθε τούτων ἡ ἐρημός ἐστι ἐπιπολλόν. μετὰ δὲ τὴν ἔρημον Ἀνδροφάγοι οἰκέουσι, ἔθνος ἐὸν ἴδιον, καὶ οὐδαμῶς Σκυθικόν. τὸ δὲ τούτων κατύπερθε, ἔρημον ἤδη ἀληθέως, καὶ ἔθνος ἀνθρώπων οὐδὲν, ὅσον ἡμεῖς ἴδμεν.

ιθ'. Τὸ δὲ πρὸς τὴν ἕω τῶν γεωργῶν τούτων Σκυθέων, διαβάντι τὸν Παντικάπην

[d] πρὸς ἑσπέρην.

ποταμὸν, Νομάδες ἤδη Σκύθαι νέμονται, οὔτέ τι σπείροντες οὐδὲν, οὔτε ἀροῦντες· ψιλὴ δὲ δενδρέων ἡ πᾶσα αὕτη γῆ, πλὴν τῆς Ὑλαίης [e]. οἱ δὲ Νομάδες οὗτοι τὸ πρὸς τὴν ἕω, ἡμερέων τεσσέρων κ̀ δέκα ὁδὸν νέμονται χώρην κατατείνουσαν ἐπὶ ποταμὸν Γέῤῥον.

κ΄. Πέρην δὲ τοῦ Γέῤῥου ταῦτα δὴ τὰ καλεύμενα βασιλήϊά ἐστι, κ̀ Σκύθαι οἱ ἄριστοί τε κ̀ πλεῖστοι· κ̀ τοὺς ἄλλους νομίζοντες Σκύθας, δούλους σφετέρους εἶναι· κατοικοῦσι [f] δὲ οὗτοι τὸ μὲν πρὸς μεσαμβρίην, ἐς τὴν Ταυρικήν· τὸ δὲ πρὸς ἠῶ, ἐπί τε τάφρον, τὴν δὴ οἱ ἐκ τῶν τυφλῶν γενόμενοι ὤρυξαν, κ̀ ἐπὶ τῆς λίμνης τῆς Μαιήτιδος [g] τὸ ἐμπόριον, τὸ καλέεται Κρημνοί. τὰ δὲ αὐτῶν κατήκουσι ἐπὶ ποταμὸν Τάναϊν. Τὰ δὲ κατύπερθε πρὸς βορέην ἄνεμον τῶν βασιληΐων Σκυθέων οἰκέουσι Μελάγχλαινοι, ἄλλο ἔθνος, κ̀ οὐ Σκυθικόν. Μελαγχλαίνων δὲ τὸ κατύπερθε, λίμ-

[e] MS. πᾶσα αὕτη τῆς Ὑλαίης. [f] κατέχουσι. [g] MS. habet tum hic, tum infra Μαιώτιδος.

adjacet, transmisso flumine Panticape, Scythae jam Nomades, *id est, pastorii*, incolunt, neque serentes quicquam neque arantes. Nuda autem arboribus est omnis haec plaga praeter Hylaeam. Nomades autem isti incolunt spatium quatuordecim dierum itineris, auroram versus, ad Gerrhum usque flumen.

20. Trans Gerrhum autem sunt ea quae vocantur regia, et Scythae optimi pariter et plurimi, et qui suos servos esse ceteros Scythas arbitrantur; a meridie quidem ad Tauricam regionem pertinentes, ab aurora vero ad fossam quam duxerunt illi qui e caecis geniti fuerunt: et ad emporium paludis Maeotidis, quod vocatur Cremni, sed eorum alii ad flumen Tanain porriguntur. At superiora ad ventum aquilonem Scythis regiis, ea incolunt Melanchlaeni, alia gens non Scythica; et supra Melanchlaenos paludes sunt, et de-

ſerta hominibus regio, quantum nos ſcimus.

21. Trans flumen autem Tanain non amplius regio Scythica, ſed prima quidem portionum eſt Sauromatarum, qui a receſſu Maeotidis paludis incipientes, incolunt tractum qui ſpectat aquilonem, iter dierum quindecim, vacuum prorſus arboribus tam agreſtibus quam mitibus. Supra hos habitant ſecundam portionem tenentes Budini, terram colentes totam omni arborum genere ſpiſſam.

22. Supra Budinos ad aquilonem ſtatim excipit ſolitudo octo dierum itineris. Poſt hanc ſolitudinem declinanti magis ad ventum ſubſolanum, incolunt Thyſſagetae, natio copioſa et propria, et e venatu victitans. His contigui, in eiſdem habitantes locis ſunt quibus nomen inditum eſt Iyrcae, et ipſi e venatione victitantes, hunc in modum: Conſcenſis arboribus, quae per omnem regionem frequentes

ναι, καὶ ἔρημός ἐστι ἀνθρώπων, κατόσον ἡμεῖς ἴδμεν.

κα΄. Τάναϊν δὲ ποταμὸν διαβάντι, οὐκέτι Σκυθική, ἀλλ᾽ ἡ μὲν πρώτη τῶν λαξίων, Σαυροματέων ἐστὶ, οἳ ἐκ τοῦ μυχοῦ ἀρξάμενοι τῆς Μαιήτιδος λίμνης, νέμονται τὸ πρὸς [a] βορέην ἄνεμον, ἡμερέων πεντεκαίδεκα ὁδὸν, πᾶσαν ἐοῦσαν ψιλὴν καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων. ὑπεροικέουσι δὲ τούτοισι δευτέρην λάξιν ἔχοντες Βουδῖνοι, γῆν νεμόμενοι πᾶσαν δασέην ὕλῃ παντοίῃ.

κβ΄. Βουδίνων δὲ κατύπερθε πρὸς βορῆν, ἐστι πρώτη μὲν ἔρημος, ἐπ᾽ ἡμερέων ἑπτὰ ὁδόν· μετὰ δὲ τὴν ἔρημον ἀποκλίναντι μᾶλλον πρὸς ἀπηλιώτην ἄνεμον, νέμονται Θυσσαγέται, ἔθνος πολλὸν καὶ ἴδιον· ζώουσι δὲ ἀπὸ θήρης. συνεχέες δὲ τούτοισι ἐν τοῖσι αὐτοῖσι τόποισι κατοικημένοι εἰσὶ [b] τοῖσι οὔνομα κεῖται Ἰΰρκαι· καὶ οὗτοι ἀπὸ θήρης ζώοντες τρόπῳ τοιῷδε· λοχᾷ ἐπὶ δένδρεον ἀναβάς. τὰ δὲ ἐστι πυκνὰ ἀνὰ πᾶσαν τὴν

[a] τὰ πρὸς. [b] κατοικημένοισι εἰσὶ.

χώρην· ἵππος δὲ ἑκάστῳ δεδιδαγμένος ἐστὶ γαστέρα κεῖσθαι, ταπεινότητος εἵνεκα· ἕτοιμός ἐστι καὶ κύων· ἐπεὰν [c] δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ τοῦ δενδρέου, τοξεύσας, ἐπιβὰς ἐπὶ τὸν ἵππον, διώκει· καὶ ὁ κύων ἔχεται [d]. ὑπὲρ δὲ τούτων, τὸ πρὸς τὴν ἠῶ τετραμμένον οἰκέουσι Σκύθαι ἄλλοι, ἀπὸ τῶν βασιληΐων Σκυθέων ἀποστάντες, καὶ οὕτω ἀπικόμενοι ἐς τοῦτον τὸν χῶρον.

κγʹ. Μέχρι μὲν δὴ τῆς τούτων τῶν Σκυθέων χώρης, ἐστι ἡ καταλεχθεῖσα πᾶσα, πεδιάς τε γῆ καὶ βαθύγεως· τὸ δ' ἀπὸ τούτου, λιθώδης τ' ἐστὶ καὶ τρηχείη. διεξελθόντι δὲ καὶ τῆς τρηχείης χώρης πολλὸν, οἰκέουσι ὑπώρεαν οὐρέων ὑψηλῶν ἄνθρωποι λεγόμενοι εἶναι πάντες φαλακροὶ ἐκ γενετῆς γινόμενοι, καὶ ἔρσενες καὶ θήλεαι ὁμοίως· καὶ σιμοί· καὶ γένεια ἔχοντες μεγάλα· φωνὴν δὲ ἰδίην ἱέντες. ἐσθῆτι δὲ χρεώμενοι Σκυθικῇ· ζῶντες δὲ ἀπὸ δενδρέων. Ποντικὸν μὲν οὔνομα τῷ δενδρέῳ ἀπ' οὗ ζῶ-

[c] ἐπαδάν. [d] ἕπεται.

ſunt, inſidiantur. ſingulis autem adeſt equus, in ventrem procumbere edoctus, humilius ſubſidendi gratia: eſt in promptu et canis. Ubi quis igitur ab arbore feram viderit, ſagittaque percuſſerit, conſcenſo equo illam perſequitur, et canis adhaeret. Super hos regionem auroram verſus incolunt alii Scythae, qui a regiis Scythis deficientes, ita in hunc locum pervenerunt.

23. Ad hos uſque Scythas regio omnis Scythica eſt campeſtris, et profundi ſoli: reliqua dehinc lapidoſa atque ſalebroſa. Cujus regionis magno tranſmiſſo ſpatio, incolunt ad excelſorum montium radicem homines qui ab ipſo natali dicuntur eſſe calvi, mares pariter et feminae, ſimis quoque naribus, et ingenti mento; propriam vocem edentes, ſed Scythicam geſtantes veſtem: ex arboribus victitantes. cui arbori nomen eſt Ponticum, magni-

tudo fere eadem quae fico, fructus fabae instar, nucleum habens. Id ubi maturuerit, vestibus excolant, et quod ab eo crassum et nigrum defluit, nomine aschy, id et lingunt, et lacte commixtum potant. ex ipsius quoque crassitudine faecis massas componunt et edunt. neque enim multum est eis ovium, utpote non sunt ibi pascua serio culta. Sub arbore quisque habitat: per hyemem quidem, ubi arborem pileo albo firmoque contexerint; per aestatem vero, sine hoc pileo. His nemo mortalium injuriam infert. sacri enim dicuntur esse: nihilque Martiorum armorum possident. Et partim quidem hi sunt, qui finitimorum controversias dirimunt; partim vero quisquis exulans ad eos confugit, is a nemine laeditur. Nomen eis est Argippaei.

24. Ad hos usque calvos ingens cir-

σι, μέγαθος δὲ κατὰ συκέην μάλιστά κη. καρπὸν δὲ φορέει κυάμῳ ἴσον, πυρῆνα δὲ ἔχει. τοῦτο ἐπεὰν γένηται πέπον, σακκέουσι ἱματίοισι· ἀποῤῥέει δή ἀπ' αὐτοῦ παχὺ καὶ μέλαν. οὔνομα δὲ τῷ ἀποῤῥέοντι ἐστὶ ἄσχυ· τοῦτο καὶ [e] λείχουσι, καὶ γάλακτι συμμίσγοντες πίνουσι· καὶ ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγὸς παλλάθας συντιθέασι, καὶ ταύτας σιτέονται. πρόβατα γάρ σφι οὐ πολλά ἐστι· οὐ γάρ τι σπουδαῖαι νομαὶ [f] αὐτόθι εἰσί. ὑπὸ δενδρέῳ δὲ ἕκαστος κατοίκηται, τὸν μὲν χειμῶνα, ἐπεὰν τὸ δένδρεον περικαλύψῃ πίλῳ στεγνῷ λευκῷ· τὸ δὲ θέρος, ἄνευ πίλου. τούτους οὐδεὶς ἀδικέει ἀνθρώπων· ἱροὶ γὰρ λέγονται εἶναι. οὐδέ τι ἀρήϊον ὅπλον ἐκτέαται. καὶ τοῦτο μὲν, τοῖσι περιοικέουσι οὗτοί εἰσι οἱ τὰς διαφορὰς διαιρέοντες· τοῦτο δὲ, ὃς ἂν καταφεύγων καταφύγῃ [g] ἐς τούτους, ὑπ' οὐδενὸς ἀδικέεται· οὔνομα δέ σφι ἐστὶ Ἀργιππαῖοι.

κδ'. Μέχρι μέν νυν τῶν φαλακρῶν

[e] τοῦτο δὲ καὶ. [f] γάρ τοι σπουδαῖαι αἱ νομαί. [g] ἂν καταφύγῃ.

τουτέων, πολλὴ περιφάνεια τῆς χώρης ἐστὶ, καὶ τῶν ἔμπροσθεν ἐθνέων. καὶ γὰρ Σκυθέων τινὲς ἀπικνέονται ἐς αὐτοὺς, τῶν οὐ χαλεπόν ἐστι πυθέσθαι, καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθένεός τε ἐμπορίου καὶ τῶν ἄλλων Ποντικῶν ἐμπορίων. Σκυθέων δὲ οἳ ἂν ἔλθωσι ἐς αὐτοὺς, δι' ἑπτὰ ἑρμηνέων καὶ δι' ἑπτὰ γλωσσέων διαπρήσσονται.

κε'. Μέχρι μὲν δὴ τουτέων γινώσκεται. τὸ δὲ τῶν φαλακρῶν κατύπερθε οὐδεὶς ἀτρεκέως οἶδε φράσαι· οὔρεα γὰρ ὑψηλὰ ἀποτάμνει ἄβατα, καὶ οὐδείς σφεας [a] ὑπερβαίνει. οἱ δὲ φαλακροὶ οὗτοι λέγουσι, (ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες) οἰκέειν τὰ οὔρεα αἰγίποδας [b] ἄνδρας· ὑπερβάντι δὲ τούτους, ἄλλους ἀνθρώπους, οἳ [c] τὴν ἑξάμηνον καθεύδουσι· τοῦτο δὲ οὐκ ἐνδέκομαι τὴν ἀρχήν· ἀλλὰ τὸ μὲν πρὸς ἠῶ τῶν φαλακρῶν γινώσκεται ὑπὸ [d] Ἰσσηδόνων οἰκεόμενον· τὸ μέντοι κατύπερθε πρὸς βορέην ἄνεμον, οὐ γι-

[a] οὐδεὶς σφεα. [b] MS. ἱπποβάτας. [c] ἀνθρώπους εἶναι οἱ. [d] γινώσκεται ἀτρεκέως ὑπό.

tumcirca prospectus est regionis et gentium, quae in anterioribus sunt. Nam et Scytharum nonnulli ad eos commeant, quos non difficile est sciscitari; atque etiam Graecos ex emporio Borysthenis atque aliis Ponticis emporiis. Ex Scythis vero qui ad eos commeant, per septem interpretes totidemque linguas id peragunt.

25. Horum tenus notitia rerum habetur. at quod supra illos calvos est, nemo pro comperto referre potest. nam montes editi inaccessi praecidunt, et eos nemo transcendit. Isti tamen calvi referunt, (quae apud me fidem non habent) incoli montes ab viris capripedibus: quos ubi transieris, esse alios qui senos menses dormiant. quod ego omnino non admitto. Sed tractum illum qui ad auroram calvis est, ab Issedonibus habitari sine ambiguitate compertum est. Ille vero supe-

rior vergens ad aquilonem ventum non cognoſcitur vel ab Iſſedonibus vel ab calvis, niſi quatenus iſti ipſi dicunt.

26. Iſſedones porro talibus moribus uti feruntur: Quoties pater alicui deceſſit, omnes propinqui pecora adducunt; quae ubi maſtaverunt conciderantque carnes, concidunt et mortuum patrem illius a quo excipiuntur, commixtiſque omnibus carnibus convivium exhibent. Caput autem ejus depilatum expurgatumque inaurant, eoque pro re ſacrata utuntur, peragentes quotannis magna ſacrificia. Haec filius patri facit, quemadmodum Graeci natalitia. Alioqui dicuntur illi juſti eſſe, et ipſorum uxores peraeque fortes ac viri. Hi et ipſi cognoſcuntur.

27. Quod ab his ſupernum eſt, ibi ajunt Iſſedones eſſe homines unoculos, et grypes auri cuſtodes. Hoc ab eis nacti

νώσκεται, οὔτε τῶν φαλακρῶν, οὔτε τῶν Ισσηδόνων, εἰ μὴ ὅσα αὐτέων τουτέων λεγόντων.

κϛ΄. Νόμοισι δὲ Ισσηδόνες τοῖσιδε λέγονται χρᾶσθαι. ἐπεὰν ἀνδρὶ ἀποθάνοι πατὴρ, οἱ προσήκοντες πάντες προσάγουσι πρόβατα· καὶ ἔπειτα ταῦτα θύσαντες, καὶ καταταμόντες τὰ κρέα, κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου τεθνεῶτα γονέα· ἀναμίξαντες δὲ πάντα τὰ κρέα, δαῖτα προτίθενται. τὴν δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ ἐκκαθήραντες, ἀποχρυσοῦσι· καὶ ἔπειτα ἅτε ἀγάλματι χρέωνται, θυσίας μεγάλας ἐπετείους ἐπιτελέοντες. παῖς δὲ πατρὶ τοῦτο ποιέει, κατάπερ οἱ Ἕλληνες τὰ γενέσια. ἄλλως δὲ δίκαιοι καὶ οὗτοι λέγονται εἶναι. ἰσοκρατέες δὲ ὁμοίως αἱ γυναῖκες τοῖσι ἀνδράσι. γινώσκονται μὲν δὴ καὶ οὗτοι.

κζ΄. Τὸ δὲ ἀπὸ τούτων τὸ κατύπερθε, Ισσηδόνες εἰσὶ οἱ λέγοντες μουνοφθάλμους ἀνθρώπους καὶ χρυσοφύλακας γρῦπας εἶ-

ναι [a]. παρὰ δὲ τουτέων Σκύθαι παραλαβόντες λέγουσι· παρὰ δὲ Σκυθέων ἡμεῖς οἱ ἄλλοι νενομίκαμεν, καὶ ὀνομάζομεν αὐτοὺς Σκυθιστὶ Ἀριμασπούς. ἄριμα γὰρ ἓν καλέουσι Σκύθαι, σποῦ δὲ τὸν ὀφθαλμόν.

κη'. Δυσχείμερος δὲ αὕτη ἡ καταλεχθεῖσα πᾶσα χώρη οὕτω δή τοι ἐστί· ἔνθα τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀφόρητος οἷος γίνεται κρυμός, ἐν τοῖσι ὕδωρ ἐκχέας, πηλὸν οὐ ποιήσεις· πῦρ δὲ ἀνακαίων, ποιήσεις πηλόν· ἡ δὲ θάλασσα πήγνυται, καὶ ὁ Βόσπορος πᾶς ὁ Κιμμέριος. καὶ ἐπὶ τοῦ κρυστάλλου οἱ ἐντὸς τάφρου Σκύθαι κατοικημένοι στρατεύονται, καὶ τὰς ἁμάξας ἐπελαύνουσι πέρην ἐς τοὺς Ἰνδούς. οὕτω μὲν δὴ τοὺς ὀκτὼ μῆνας διατελέει χειμὼν ἐών· τοὺς δ' ἐπιλοίπους τέσσερας ψύχεα αὐτόθι ἐστί. κεχώρισται δὲ οὗτος ὁ χειμὼν τοὺς τρόπους πᾶσι τοῖσι ἐν ἄλλοισι χωρίοισι γινομένοισι χειμῶσι. ἐν τῷ τὴν μὲν ὡραίην οὐκ ὕει λόγου ἄξιον οὐδέν· τὸ δὲ θέρος, ὕον οὐκ

a Id quoque substantivum verbum non est in MS.

Scythae narrant, a Scythis nos ceteri pro vero habuimus, et Scythice eos appellamus Arimaſpos. nam *arima* Scythae unum vocant, *ſpu* vero oculum.

28. Omnis autem quae dicta eſt regio, adeo infeſtatur hyberna ſaevitia, ut octo menſibus intolerabile ſit illic gelu; in quibus ſi aquam effundas, non facias lutum, facies autem ſi illic ignem accenderis. Mare compingitur, et omnis Cimmerius Boſporus: ſuperque glaciem qui intra foſſam incolunt Scythae militant, et plauſtra agunt trans eam uſque ad Indos. Ita vis hyberna octo menſibus perſtat, quatuor tamen menſibus reliquis frigora illic ſunt. Ubi etiam aliam quam in ceteris regionibus conditionem habet hyems. nam quum tempus pluendi eſt, nihil ibi quod ſit ullius momenti, pluit: aeſtate pluere non ceſſat. Quinetiam tonitrua

quando alibi fiunt, tum ibi nulla exiſtunt, per aeſtatem vero denſa: hyeme ſi fiat tonitru, decernitur pro oſtento habendum in admiratione; ſicut terraemotus ſi exiſtat ſeu aeſtate ſeu hyeme in Scythica regione, prodigium creditur. Eam vim hyemis equi ſuſtinentes ferunt, muli aſinique prorſus non ferunt: quum tamen alibi ſtantes in gelido equi tabeſiant, aſini vero ac muli durent.

29. Et haec mihi videtur eſſe cauſſa, cur omnino cornua bovino generi illi mutilo iſtic non naſcantur: aſtipulante ſententiae meae Homeri carmine in Odyſſea, quod ita habet,

Et Libyen, ubi ſunt cornuti protinus agni.

Quod recte dictum eſt, in locis calidis feſtine cornua adnaſci. at in vehementibus frigoribus aut non oriuntur omnino pecoribus cornua, aut ſi oriuntur, vix oriuntur.

ἀνίει. βρονταί τε ἦμος τῇ ἄλλῃ γίνονται, τηνικαῦτα μὲν οὐ γίνονται, θέρεος δὲ ἀμφιλαφέες· ἢν δὲ χειμῶνος βροντὴ γένηται, ὡς τέρας νενόμισται θωυμάζεσθαι. ὡς δὲ ἢν [b] σεισμὸς γένηται ἤν τε θέρεος ἤν τε χειμῶνος ἐν τῇ Σκυθικῇ, τέρας νενόμισται. ἵπποι [c] δὲ ἀνεχόμενοι φέρουσι τὸν χειμῶνα τοῦτον, ἡμίονοι δὲ οὐδὲ ὄνοι ἀνέχονται τὴν ἀρχήν. τῇ δὲ ἄλλῃ ἵπποι μὲν ἐν κρυμῷ ἑστεῶτες ἀποσφακελίζουσι, ὄνοι δὲ καὶ ἡμίονοι ἀνέχονται.

κθ΄. Δοκέει δέ μοι καὶ τὸ γένος τῶν βοῶν τὸ κόλον [d] διὰ ταῦτα οὐ φύειν κέρεα αὐτόθι. μαρτυρέει δέ μοι τῇ γνώμῃ Ὁμήρου [e] ἔπος ἐν Ὀδυσσείῃ, ἔχον ὧδε,

Καὶ Λιβύην, ὅθι τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι·

ὀρθῶς εἰρημένον, ἐν τοῖσι θερμοῖσι ταχὺ παραγίνεσθαι τὰ κέρεα· ἐν δὲ τοῖσι ἰσχυροῖσι ψύχεσι ἢ οὐ φύειν κέρεα τὰ κτήνεα ἀρχὴν, ἢ φύοντα φύειν μόγις.

[b] ὡς δὲ καὶ ἦν. [c] Σκυθικῇ, ὡς τέρας θωϋμάζεται. ἵπποι. [d] τοκαθόλου. [e] δέ μου τῇ γνώμῃ καὶ Ὁμήρου.

λ΄. Ενθαῦτα μέν νυν διὰ τὰ ψύχεα γίνεται ταῦτα· θωϋμάζω δὲ (προσθήκας γάρ δή μοι ὁ λόγος ἐξ ἀρχῆς ἐδίζετο) ὅτι ἐν τῇ Ηλείῃ πάσῃ χώρῃ οὐ δυνέαται γίνεσθαι ἡμίονοι, οὔτε ψυχροῦ τοῦ χώρου ἐόντος, οὔτε ἄλλου φανεροῦ αἰτίου οὐδενός. φασὶ δὲ αὐτοὶ Ηλεῖοι ἐκ κατάρης οὐ [f] γίνεσθαί σφι ἡμιόνους· ἀλλ' ἐπεὰν προσῇ [g] ἡ ὥρη κυΐσκεσθαι τὰς ἵππους, ἐξελαύνουσι.ἐς τοὺς πλησιοχώρους αὐτάς· καὶ ἔπειτά σφι ἐν τῇ τῶν πέλας ἐπιεῖσι τοὺς ὄνους, ἐς οὗ ἂν σχῶσι αἱ ἵπποι ἐν γαστρί· ἔπειτα δὲ ὀπίσω ἀπελαύνουσι.

λα΄. Περὶ δὲ τῶν πτερῶν, τῶν Σκύθαι λέγουσι ἀνάπλεων εἶναι τὸν ἠέρα, καὶ τουτέων εἵνεκα οὐκ οἷοί τε εἶναι οὔτε ἰδεῖν τὸ πρόσω τῆς ἠπείρου, οὔτε διεξιέναι, τήνδε ἔχω περὶ αὐτέων τὴν γνώμην· τὰ κατύπερθε ταύτης τῆς χώρης αἰεὶ νίφεται, ἐλάσσονι δὲ τοῦ θέρεος ἢ τοῦ χειμῶνος, ὥσπερ καὶ εἰκός. ἤδη ὧν ὅστις ἀγχόθεν χιόνα

[f] κατάρης τευ οὐ. [g] προσίῃ.

30. In Scythia itaque hoc propter frigora contingit. Quo magis miror (ab initio enim oratio mea accessiones indagabat) cur in omni Eleo agro muli nequeant gigni, quum neque locus sit frigidus, neque ulla alia caussa appareat. Ajunt Elei ipsi ex imprecatione quadam non possideri ab ipsis mulos, sed quum tempus conceptus equarum adest, ad finitimos illas educunt; ibi postquam admiserint asinos, usque dum conceperint, tunc rursus eas reducunt.

31. De pennis autem quibus ajunt Scythae oppletum esse aërem, et idcirco non posse prospici longinquiora continentis, nec transiri, de illis haec est mea sententia; Quae super eam regionem sunt, assidue nix in ea cadit, et (ut credibile est) minus aestate quam hyeme. jam igitur cuilibet cominus intuenti cadentem ni-

vem copiosam liquet quod dico. nix enim pennis assimilis est: et propter hanc talem hyemem inhabitabilia sunt ejus continentis loca quae ad aquilonem spectant. Eoque opinor, pennas nivem esse interpretantes Scythas ac circumjectas gentes, ita loqui. Haec quidem igitur, quae dicuntur, longissime dicta sunt.

32. De Hyperboreis autem hominibus neque Scythae quippiam, neque alii ulli illic incolentium memorant, praeter Issedones: ne ipsi quidem (ut mihi videtur) dicentes aliquid. dicerent enim et Scythae de hoc, quemadmodum de unoculis dicunt. Quamquam et ab Hesiodo de Hyperboreis mentio fit: quinetiam ab Homero in Epigonis, si tamen Homerus re vera fecit hos versus.

33. Sed multo plurima de his Delii memorant, narrantes sacra illigata in triticea stipula ex Hyperboreis delata ve-

ἀδρὴν πίπτουσαν εἶδε, οἶδε τὸ λέγω· ἔοικε γὰρ ἡ χιὼν πτεροῖσι. καὶ διὰ τὸν χειμῶνα τοῦτον ἐόντα τοιοῦτον ἀνοίκητα [a] τὰ πρὸς βορῆν ἐστὶ τῆς ἠπείρου ταύτης. τὰ ὦν πτερὰ, εἰκάζοντας τὴν χιόνα, τοὺς Σκύθας τε καὶ τοὺς περιοίκους δοκέω λέγειν. ταῦτα μέν νυν τὰ λέγεται, μακρότατα εἴρηται.

λβ'. Ὑπερβορέων δὲ πέρι ἀνθρώπων οὔτέ τι Σκύθαι λέγουσι, οὔτέ τινες [b] ἄλλοι τῶν ταύτῃ οἰκημένων, εἰ μὴ ἄρα Ἰσσηδόνες. ὡς δ' ἐγὼ δοκέω, οὐδ' οὗτοι λέγουσι οὐδέν. ἔλεγον γὰρ ἂν καὶ Σκύθαι, ὡς περὶ [c] τῶν μουνοφθάλμων λέγουσι. ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ δὴ τῷ ὄντι γε Ὅμηρος ταῦτα τὰ ἔπεα ἐποίησε.

λγ'. Πολλῷ δὴ πλεῖστα [d] περὶ αὐτέων Δήλιοι λέγουσι, φάμενοι ἱρὰ ἐνδεδυμένα ἐν καλάμῃ πυρῶν, ἐξ Ὑπερβορέων φερόμενα, ἀπικνέεσθαι ἐς Σκύθας· ἀπὸ δὲ

[a] ἀοίκητα. [b] λέγουσι οὐδὲν, οὔτέ τινες. [c] ὡς καὶ περὶ. [d] πολλῷ δ' ἔτι πλεῖστα.

Σκυθέων ἤδη δεκομένους αἰεὶ τοὺς πλησιοχώρους ἑκάστους, κομίζειν αὐτὰ τὸ πρὸς ἑσπέρης ἑκαστάτω ἐπὶ τὸν Ἀδρίην. ἐνθεῦτεν δὴ πρὸς μεσαμβρίην προπεμπόμενα πρώτους Δωδωναίους Ἑλλήνων δέκεσθαι· ἀπὸ δὲ τουτέων καταβαίνειν ἐπὶ τὸν Μηλιέα κόλπον, καὶ διαπορεύεσθαι ἐς Εὔβοιαν, πόλιν δ' ἐς πόλιν πέμπειν, μέχρι Καρύστου· τὸ δ' ἀπὸ ταύτης, ἐκλιπεῖν Ἄνδρον. Καρυστίους γὰρ εἶναι τοὺς κομίζοντας ἐς Τῆνον· Τηνίους δὲ, ἐς Δῆλον. ἀπικνέεσθαι μέν νυν ταῦτα τὰ ἱρὰ οὕτω λέγουσι ἐς Δῆλον[e]· πρῶτον δὲ τοὺς Ὑπερβορέους πέμψαι φερούσας τὰ ἱρὰ δύο κόρας, τὰς οὐνομάζουσι Δήλιοι εἶναι Ὑπερόχην τε καὶ Λαοδίκην. ἅμα δὲ αὐτῇσι [f] ἀσφαλείης εἵνεκεν πέμψαι τοὺς Ὑπερβορέους τῶν ἀστῶν ἄνδρας πέντε πομπούς, τούτους οἳ νῦν Περφερέες [g] καλέονται, τιμὰς μεγάλας ἐν Δήλῳ ἔχοντες. ἐπεὶ δὲ τοῖσι Ὑπερβορέοισι τοὺς ἀποπεμφθέντας ὀπίσω οὐκ ἀπονοστέειν, δεινὰ

e Haec decem connexa vocabula non sunt in MS. f αὐτοῖσι.
g Περιφερέες.

misse ad Scythas, a Scythis deinceps finitimos accepisse, gradatimque per quoslibet vicinos remotissime ad Adriam: atque illinc meridiem versus deducta, a primis Graecorum Dodonaeis esse accepta, et ab his descendisse ad Meliensem sinum, pervasisseque in Euboeam, et oppidatim usque ad Carystum; ab hac vero reliquisse Andrum. Carystios enim esse qui in Tenum portarint; Tenios vero in Delum: atque ita haec sacra in Delum ajunt pervenisse. Sed primum Hyperboreos misisse duas puellas quae ferrent haec sacra, quas Delii nominant esse Hyperochen et Laodicen, et cum his tutelae gratia quinque viros e suis popularibus, qui eas deducerent, nunc Perpherees vocatos in Delo, ubi in magno honore habentur. Sed quum isti ab Hyperboreis missi retro non redirent, indigne ipsos tulisse, si id continue

ipſis accideret, ut eos quos mitterent non reciperent; ita ferentes ad fines ſuos ſacra in ſtipula tritici illigata, mandaviſſe vicinis, jubentes illos deducere ad aliam nationem: atque ita haec gradatim miſſa, ajunt deveniſſe in Delum. His ego ſacris ſimile quiddam fieri animadverti a feminis Thraciis atque Paeoniis, quae in ſacrificando Regiae Dianae non ſine ſtipula triticea habent ſacra: atque ipſe vidi eas haec facientes.

34. Ceterum his virginibus Hyperboreis vita functis in Delo, parentant puellae ac pueri Deliorum, tonſis utrique crinibus: puellae quidem ante nuptias ſpiram abciſam fuſo circumvolutam, in monumento ponunt. Monumentum autem intra Dianae templum ad ſiniſtram eſt intranti, oleaque ſupra ipſum nata: quotquot autem pueri Deliorum, ad quan-

ποιευμένους εἰ σφεας αἰεὶ καταλάμψεται, ἀποστέλλοντας μὴ ἀποδέκεσθαι, οὕτω δὴ φέροντας ἐς τοὺς οὔρους τὰ ἱρὰ ἐνδεδυμένα ἐν πυρῶν καλάμῃ, τοὺς πλησιοχώρους ἐπισκήπτειν, κελεύοντας προπέμπειν σφέας ἀπ' ἑωϋτῶν ἐς ἄλλο ἔθνος. καὶ ταῦτα μὲν οὕτω προπεμπόμενα, ἀπικνέεσθαι λέγουσι ἐς Δῆλον· Οἶδα δὲ αὐτὸς τούτοισι τοῖσι ἱροῖσι τόδε ποιεύμενον προσφερές· τὰς Θρηΐσσας καὶ τὰς Παιονίδας γυναῖκας, ἐπεὰν θύωσι τῇ Ἀρτέμιδι τῇ βασιληΐῃ, οὐκ ἄνευ πυρῶν καλάμης ἐχούσας [a] τὰ ἱρά. καὶ ταῦτα δὴ [b] οἶδα ταύτας ποιεύσας.

λδ'. Τῇσι δὲ παρθένοισι ταύτῃσι τῇσι ἐξ Ὑπερβορέων τελευτησάσῃσι ἐν Δήλῳ, κείρονται καὶ αἱ κόραι καὶ οἱ παῖδες οἱ Δηλίων· αἱ μὲν, πρὸ γάμου πλόκαμον ἀποταμνόμεναι, καὶ περὶ ἄτρακτον εἱλίξασαι, ἐπὶ τὸ σῆμα τιθεῖσι. τὸ δὲ σῆμά ἐστι ἔσω ἐς τὸ Ἀρτεμίσιον ἐσιόντι ἀριστερῆς χειρός. ἐπιπέφυκε δέ οἱ ἐλαίη· ὅσοι δὲ [c] παῖδες

[a] θυούσας. [b] ταῦτα μὲν δή. [c] οἱ δέ.

τῶν Δηλίων, περὶ χλόην τινὰ εἰλίξαντες τῶν τριχῶν, τιθεῖσι καὶ οὗτοι ἐπὶ τὸ σῆμα. αὗται μὲν δὴ ταύτην τὴν τιμὴν ἔχουσι πρὸς τῶν Δήλου οἰκητόρων.

λε΄. Φασὶ δὲ οἱ αὐτοὶ καὶ τὴν Ἄργιν τε καὶ τὴν Ὦπιν ἐούσας παρθένους ἐξ Ὑπερβορέων, κατὰ τοὺς αὐτοὺς τούτους ἀνθρώπους πορευομένας, ἀπικέσθαι ἐς Δῆλον, ἔτι πρότερον Ὑπερόχης τε καὶ Λαοδόκης [d]. ταύτας μέν νυν τῇ Εἰληθυίῃ ἀποφερούσας ἀντὶ τοῦ ὠκυτόκου τὸν ἐτάξαντο φόρον ἀπικέσθαι· τὴν δὲ Ἄργιν τε καὶ τὴν Ὦπιν ἅμα αὐτοῖσι τοῖσι θεοῖσι ἀπικέσθαι λέγουσι· καί σφι τιμὰς ἄλλας δεδόσθαι πρὸς σφέων. καὶ γὰρ ἀγείρειν σφι τὰς γυναῖκας, ἐπονομαζούσας τὰ οὐνόματα ἐν τῷ ὕμνῳ, τόν σφι Ὠλὴν ἀνὴρ Λύκιος ἐποίησε. παρὰ δὲ σφέων μαθόντας νησιώτας τε καὶ Ἴωνας, ὑμνέειν Ὦπίν τε καὶ Ἄργιν, ὀνομάζοντάς τε καὶ ἀγείροντας. οὗτος δὴ ὁ Ὠλὴν καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς ὕμνους ἐποίησε ἐκ Λυκίης

[d] Λαοδίκης.

dam herbam partes crinium circumvolutas et ipsi imponunt sepulchro. Hoc honore ab incolis Deli afficiuntur hae virgines.

35. Ajunt vero iidem Argin et Opin virgines ex Hyperboreis eorundem hominum aetate, in Delum venisse, etiam priores Hyperoche et Laodoce: et has quidem venisse ad reddendum Lucinae tributum, quod pro partu maturato instituerant: Argin vero et Opin una cum ipsis deis advenisse, hosque illis alios honores donasse. Illis enim colligere mulieres agnominantes nomina in hymno quem Olen vir Lycius fecit: et ab illis edoctos insulanos et Iones hymno celebrare Opin et Argin, nominantes et colligentes. Hic Olen e Lycia profectus, alios quoque vetustos fecit hymnos, qui cantantur in De-

lo. Et dum femora adolentur in ara, iste cinis supra capulum Opis et Argis consumitur injectus. Est autem capulus earum post Artemisium, ad auroram spectans, proxime Cejorum coenaculum.

36. Hactenus de Hyperboreis dictum sit. Nam de fabula Abaris, qui fertur esse Hyperboreus, nihil dico; qui sagittam dicitur per universam terram circumtulisse, nihil comedens. Quod si qui sunt Hyperborei, *id est superaquilonares*, sunt et alii hypernotii, *id est superaustrales*. Nempe rideo jam multos videns descripsisse ambitus terrae, et nullum habentes in exponendo sensum, qui Oceanum scribunt circumfluere, et terram esse orbiculatam tanquam a torno, et Asiam faciunt Europae partem. Nam ego singularum magnitudinem brevi patefaciam, et quanta sint singula ad describendum.

ἐλθὼν, τὰς ἀειδομένας ἐν Δήλῳ. καὶ τῶν μηρίων καταγιζομένων ἐπὶ τῷ βωμῷ, τὴν σποδὸν ταύτην ἐπὶ τὴν θήκην τῆς Ὤπιός τε καὶ Ἄργιος ἀναισιμοῦσθαι ἐπιβαλλομένην. ἡ δὲ θήκη αὐτέων ἐστὶ ὄπισθεν τοῦ Ἀρτεμισίου, πρὸς ἠῶ τετραμμένη, ἀγχοτάτω τοῦ Κηΐων ἱστιητορίου·

λϛ΄. Καὶ ταῦτα μὲν Ὑπερβορέων πέρι εἰρήσθω. τὸν γὰρ περὶ Ἀβάριος λόγον τοῦ λεγομένου εἶναι Ὑπερβορέω οὐ λέγω, λέγων ὡς τὸν ὀϊστὸν περιέφερε κατὰ πᾶσαν τὴν γῆν, οὐδὲν σιτεόμενος. εἰ δέ εἰσί τινες Ὑπερβόρεοι ἄνθρωποι, εἰσὶ καὶ ὑπερνότιοι ἄλλοι. γελῶ δὲ ὁρῶν γῆς περιόδους γράψαντας πολλοὺς ἤδη, καὶ οὐδένα νόον ἔχοντας ἐξηγησάμενον· οἳ Ὠκεανόν τε ῥέοντα γράφουσι πέριξ, τήν τε γῆν ἐοῦσαν κυκλοτερέα ὡς ἀπὸ τόρνου, καὶ τὴν Ἀσίην τῇ Εὐρώπῃ ποιεύντων ἴσην [a]. ἐν ὀλίγοισι γὰρ ἐγὼ δηλώσω μέγαθός τε ἑκάστης αὐτέων, καὶ ὅση [b] τίς ἐστι ἐς γραφὴν ἑκάστη.

[a] ποιοῦσι ἴσην. [b] οἵη.

λζ. Πέρσαι οἰκέουσι κατήκοντες ἐπὶ τὴν νοτίην θάλασσαν, τὴν Ἐρυθρὴν καλεομένην. τουτέων δ' ὑπεροικέουσι πρὸς βορέην ἄνεμον, Μῆδοι· Μήδων δὲ, Σάσπειρες· Σασπείρων δὲ, Κόλχοι, κατήκοντες ἐπὶ τὴν βορηΐην θάλασσαν, ἐς τὴν Φᾶσις ποταμὸς ἐκδιδοῖ. ταῦτα τέσσερα ἔθνεα οἰκέει ἐκ θαλάσσης ἐς θάλασσαν.

λή. Ἐνθεῦτεν δὲ τὸ πρὸς ἑσπέρης [c] ἀκταὶ διφάσιαι ἀπ' αὐτῆς κατατείνουσι ἐς θάλασσαν, τὰς ἐγὼ ἀπηγήσομαι. ἔνθεν μὲν ἡ ἀκτὴ ἡ ἑτέρη τὰ πρὸς βορέην ἀπὸ Φάσιος ἀρξαμένη, παρατέταται ἐς θάλασσαν παρά τε τὸν Πόντον καὶ τὸν Ἑλλήσποντον, μέχρι Σιγείου τοῦ Τρωϊκοῦ. τὰ δὲ πρὸς νότου[d], ἡ αὐτὴ αὕτη ἀκτὴ ἀπὸ τοῦ Μαριανδύνων [e] κόλπου τοῦ πρὸς Φοινίκῃ [f] κειμένου τείνει τὰ ἐς θάλασσαν μέχρι Τριοπίου ἄκρης. οἰκέει δ' ἐν τῇ ἀκτῇ ταύτῃ ἔθνεα ἀνθρώπων τριήκοντα. αὕτη μέν νυν ἡ ἑτέρη τῶν ἀκτέων.

[c] ἑσπέρην. [d] νότον. [e] Μαριανδυνῶν. [f] Φοινίκην.

37. Ubi Persae incolunt, id ad australe pertinet mare quod dicitur Rubrum. Super hos ad ventum aquilonem habitant Medi, super Medos Sapires, super Sapires Colchi, ad septentrionale pertinentes mare, in quod influit flumen Phasis. Hae quatuor nationes a mari ad mare incolunt.

38. Dehinc vesperam versus ab ea duae orae terrarum ad mare procedunt, quas ego exponam. Hinc quidem ora una aquilonem versus a Phasi incipiens porrecta est ad mare juxta Pontum et Hellespontum, usque ad Sigeum Troicum: sed austrum versus, eadem ista ora a sinu Mariandynorum, qui Phoenicae adjacet, tendit in mare ad promontorium usque Triopium. Incolunt autem in ora hac hominum nationes triginta. talis quidem est una ora.

39. Altera vero, a Perfis incipiens porrigitur ad Rubrum mare, quod et Perficum vocatur: deinde gradatim Affyria, atque inde Arabia: definitque non definens, nifi jure, in finum Arabicum, in quem Darius e Nilo rivum induxit. A Perfis ad Phoenicen tractus amplus eft ac multus. A Phoenice quod fequitur, haec ora tendit per hoc mare praeter Syriam Palaeftinam et Aegyptum, in qua terminatur: in qua tres funt modo nationes. Atque haec funt quae a Perfis verfus occafum Afiae continentur.

40. Quae fupra Perfas funt et Medos et Sapires et Colchos, auroram verfus et folem orientem, hinc mari Rubro alluuntur; aquilonem autem verfus, a mari Cafpio et flumine Araxe, qui contra folem

λθ΄. Ἡ δὲ δὴ ἑτέρη, ἀπὸ Περσέων ἀρξαμένη, παρατέταται ἐς τὴν Ἐρυθρὴν θάλασσαν· ἥ τε Περσικὴ, καὶ ἡ ἀπὸ ταύτης ἐκδεκομένη Ἀσσυρίη· καὶ ἀπὸ Ἀσσυρίης, ἡ Ἀραβίη· λήγει δὲ αὐτὴ οὐ λήγουσα, εἰ μὴ νόμῳ, ἐς τὸν κόλπον τὸν Αράβιον, ἐς τὸν Δαρεῖος ἐκ τοῦ Νείλου διώρυχα ἐσήγαγε. μέχρι μέν νυν Φοινίκης ἀπὸ Περσέων, χῶρος πλατὺς καὶ πολλός ἐστι· τὸ δ᾽ ἀπὸ Φοινίκης παρήκει διὰ τῆσδε τῆς θαλάσσης ἡ ἀκτὴ αὕτη παρά τε Συρίην τὴν Παλαιστίνην [a], καὶ Αἴγυπτον, ἐς τὴν τελευτᾷ· ἐν τῇ ἔθνεά ἐστι τρία μοῦνα. ταῦτα μὲν ἀπὸ Περσέων τὰ πρὸς ἑσπέρης [b] τῆς Ἀσίης ἔχοντα.

μ΄. Τὰ [c] δὲ κατύπερθε Περσέων, καὶ Μήδων, καὶ Σαπείρων, καὶ Κόλχων, τὰ πρὸς ἠῶ τε καὶ ἥλιον ἀνατέλλοντα, ἔνθεν μὲν ἡ Ἐρυθρὴ παρήκει θάλασσα· πρὸς βορέω δὲ ἡ Κασπίη τε θάλασσα, καὶ ὁ Ἀράξης πο-

[a] Συρίην τὴν παρὰ τὴν Παλαιστίνην. [b] ἑσπέρην. [c] ἔχοντά ἐστι. Τὰ

ταμὸς, ῥέων πρὸς ἥλιον ἀνίσχοντα. μέχρι δὲ τῆς Ἰνδικῆς οἰκέεται Ἀσίη· τὸ δὲ ἀπὸ ταύτης, ἔρημον ἤδη τὸ πρὸς τὴν ἕω, οὐδ᾽ ἔχει οὐδεὶς φράσαι οἷον δή τι ἐστί.

μα΄. Τοιαύτη μὲν καὶ τοσαύτη ἡ Ἀσίη ἐστί. ἡ δὲ Λιβύη ἐν τῇ ἀκτῇ τῇ ἑτέρῃ ἐστί· ἀπὸ γὰρ Αἰγύπτου Λιβύη ἤδη ἐκδέκεται. κατὰ μέν νυν Αἴγυπτον ἡ ἀκτὴ αὕτη ἐστὶ ἢ ἐστι[f]· ἀπὸ γὰρ τῆσδε τῆς θαλάσσης ἐς τὴν Ἐρυθρὴν θάλασσαν, δέκα μυριάδες εἰσὶ ὀργυιέων· αὗται δ᾽ ἂν εἶεν χίλιοι στάδιοι. τὸ δὲ ἀπὸ τοῦ στεινοῦ τούτου, κάρτα πλατέα τυγχάνει ἐοῦσα ἀκτὴ, ἥτις Λιβύη κέκληται.

μβ΄. Θωϋμάζω ὦν τῶν διουρισάντων καὶ διελόντων Λιβύην καὶ Ἀσίην καὶ Εὐρώπην. οὐ γὰρ σμικρὰ τὰ διαφέροντα αὐτέων ἐστί. μήκεϊ μὲν γὰρ παρ᾽ ἀμφοτέρας παρήκει ἡ Εὐρώπη· εὔρεος δὲ πέρι, οὐδὲ συμβαλλέειν ἀξίη φαίνεταί μοι εἶναι. Λιβύη μὲν γὰρ δηλοῖ ἑωϋτὴν, ἐοῦσα περίῤῥυτος, πλὴν ὅσον αὐτῆς πρὸς τὴν Ἀσίην οὐρίζει· Νεκὼ τοῦ

[f] αὕτη στενή ἐστι.

orientem fluit. Porro Indiā tenus habitatur Asia. Illinc jam auroram versus deserta sunt: nec qualia sint dicere quispiam potest.

41. Et Asia quidem talis et tanta est. Africa autem in altera ora est. ab Aegypto enim jam Africa excipit. Haec ipsa ora circa Aegyptum jam est quâ est. nam ab hoc mari ad rubrum intercapedo est centum millium orgyiarum, quae efficiunt mille stadia. Ab his deinceps angustiis spatiosa valde ora est quae Africa dicitur.

42. Itaque admiror eos qui disterminarunt atque distinxerunt Africam, Asiam, Europam: inter quas non parum est differentiae. Siquidem Europa longitudine praeter utramque extenditur, latitudine vero non videtur mihi comparari digna. nam Africa se ipsam manifestat, circumflua mari, excepto duntaxat ubi Asiae contermina est, Neco Aegyptiorum

rege, eorum quos novimus primo in hoc demonſtrando. Is poſtquam deſtitit a deprimenda foſſa a Nilo ad Arabicum ſinum, miſit navibus quoſdam viros Phoenices, praecipiens ut evecti per columnas Herculeas penetrarent ad ſeptentrionale uſque mare, atque ita ad Aegyptum remearent. Phoenices igitur e rubro mari ſolventes, abierunt in mare auſtrale: qui quum autumnus adveniſſet, applicitis ad terram navibus ſementem faciebant, ubi identidem navigantes in Africa forent, ac meſſem expectabant. deinde meſſo frumento navigabant. Ita biennio conſumpto, anno tertio quum flexiſſent Herculeas columnas in Aegyptum remearunt, referentes quae apud me fidem non habent, ſed forte apud aliquem alium: circumnavigantes Africam, ſe habuiſſe ſolem ad dextram. Atque hunc in modum Africa primum eſt cognita.

43. Secundo loco, (Carthaginienſes

Αἰγυπτίων βασιλέος πρώτου τῶν ἡμεῖς ἴδμεν, καταδέξαντος· ὃς ἐπεί τε τὴν διώρυχα ἐπαύσατο ὀρύσσων τὴν ἐκ τοῦ Νείλου ἔχουσαν [a] ἐς τὸν Ἀράβιον κόλπον, ἀπέπεμψε Φοίνικας ἄνδρας πλοίοισι, ἐντειλάμενος ἐς τὸ ὀπίσω δι' Ἡρακληίων στηλέων ἐκπλέειν ἕως ἐς τὴν βορηΐην θάλασσαν, καὶ οὕτω ἐς Αἴγυπτον ἀπικνέεσθαι. ὁρμηθέντες ὦν οἱ Φοίνικες ἐκ τῆς ἐρυθρῆς θαλάσσης [b], ἔπλεον τὴν νοτίην θάλασσαν. ὅκως δὲ γένοιτο φθινόπωρον, προσχόντες ἂν σπείρεσκον τὴν γῆν, ἵνα ἑκάστοτε τῆς Λιβύης πλέοντες γενοίατο, καὶ μένεσκον τὸν ἄμητον· θερίσαντες δ' ἂν τὸν σῖτον, ἔπλεον. ὥστε δύο ἐτέων διεξελθόντων, τρίτῳ ἔτεϊ κάμψαντες Ἡρακληίας στήλας, ἀπίκοντο ἐς Αἴγυπτον. καὶ ἔλεγον ἐμοὶ μὲν οὐ πιστὰ, ἄλλῳ δὲ δή τεῳ, ὡς περιπλώοντες τὴν [c] Λιβύην, τὸν ἥλιον ἔσχον ἐς τὰ δεξιά. οὕτω μὲν αὕτη ἐγνώσθη τοπρῶτον.

μγ'. Μετὰ δὲ, Καρχηδόνιοι εἰσὶ οἱ λέ-

[a] διέχουσαν. [b] Ἐρυθρῆς καλεομένης θαλάσσης. [c] περιπλώοντας ς τὴν.

γοντες, ἐπεὶ Σατάσπης γε ὁ Τεάσπιος, ἀνὴρ Ἀχαιμενίδης, οὐ περιέπλωσε Λιβύην, ἐπ' αὐτὸ τοῦτο πεμφθείς· ἀλλὰ δείσας τό, τε μῆκος τοῦ πλόου καὶ τὴν ἐρημίην, ἀπῆλθε ὀπίσω, οὐδ' ἐπετέλεσε τὸν ἐπέταξέ οἱ ἡ μήτηρ ἄεθλον. θυγατέρα γὰρ Ζωπύρου ἐβιήσατο τοῦ Μεγαβύζου παρθένον. ἔπειτα μέλλοντος αὐτοῦ διὰ ταύτην τὴν αἰτίην ἀνασκολοπιεῖσθαι ὑπὸ Ξέρξεω βασιλῆος, ἡ μήτηρ τοῦ Σατάσπεος, ἐοῦσα Δαρείου ἀδελφεὴ, παραιτήσατο, φᾶσά οἱ αὐτὴ μέζω ζημίην ἐπιθήσειν ἤπερ ἐκεῖνον. Λιβύην γάρ οἱ ἀνάγκην ἔσεσθαι περιπλώειν, ἐς ὃ ἂν ἀφίκηται [d], περιπλέων αὐτὴν, ἐς τὸν Ἀράβιον κόλπον. συγχωρήσαντος δὲ Ξέρξεω ἐπὶ τούτοισι, ὁ Σατάσπης ἀπικόμενος ἐς Αἴγυπτον, καὶ λαβὼν νέα τε καὶ ναύτας παρὰ τουτέων, ἔπλεε παρὰ Ἡρακληίας στήλας. διεκπλώσας δὲ, καὶ κάμψας τὸ ἀκρωτήριον τῆς Λιβύης, τῷ οὔνομα Σολόεις ἐστὶ, ἔπλεε πρὸς μεσαμβρίην, πε-

[d] ἀπίκηται.

ſunt qui dicunt) poſtquam Sataſpes, Teaſpis filius, vir Achaemenides, Africam non circumnavigavit ad hoc ipſum miſſus; ſed cum navigationis longitudine, tum terrae ſolitudine deterritus retro rediit, non impleto labore quem ei mater injunxerat. Etenim vitiaverat filiam virginem Zopyri, neptem Megabyzi, quem ob hanc cauſſam a Xerxe rege ſuffigendum cruci mater Sataſpis, quae erat Darii ſoror, liberavit: quod diceret ſe majus illi ſupplicium irrogaturam quam rex, quippe neceſſe ei fore praeternavigare Africam, dum perveniret eam circumnavigans ad Arabicum ſinum. His annuente Xerxe, Sataſpes in Aegyptum abiit, ſumptaque illinc nave ac nautis, navigavit ad columnas Herculeas: quibus tranſmiſſis, flectens Africae promontorium, cui nomen Syloes, in meridiem curſum tenebat,

Emenſuſque permultum maris intra complures menſes, quum aſſidue pluri opus eſſet, converſo curſu in Aegyptum rediit. Et illinc ad regem Xerxem regreſſus, ajebat in remotiſſimis homines puſillos praeternavigaſſe, rubra utentes veſte, qui, quum ipſi terrae navim applicarent, ad montes ſe fuga proriperent relictis urbibus; ipſos autem nihil illis injuriae intuliſſe vaſtantes, cibaria tantum illinc accepiſſe. Quod autem totam Africam non circumnavigaſſent, haec cauſſa afferebatur, quod navigium ulterius procedere non poſſet, ſed retineretur. Hunc Xerxes negans loqui vera, et quod operam ipſi propoſitam non abſolviſſet, in crucem ſuſtulit, irrogata vetere poena. Hujus Sataſpis eunuchus, audita domini nece, Samum celerrime cum magna pecunia profugit, quam Samius quidam intervertit: cujus nomen quum

ρήσας δὲ θάλασσαν πολλὴν ἐν πολλοῖσι μησὶ, ἐπεί τε τοῦ πλεῦνος αἰεὶ ἔδεε, ἀποστρέψας ὀπίσω, ἀπέπλεε ἐς Αἴγυπτον. ἐκ δὲ ταύτης ἀπικόμενος παρὰ βασιλέα Ξέρξεα, ἔλεγε, φὰς τὰ προσωτάτω ἀνθρώπους μικροὺς παραπλέειν, ἐσθῆτι φοινικηΐῃ διαχρεωμένους· οἵ, ὅκως σφεῖς καταγοίατο τῇ νηῒ, φεύγεσκον πρὸς τὰ οὔρεα, λείποντες [e] τὰς πόλιας· αὐτοὶ δὲ ἀδικέειν οὐδὲν σίνοντες, βρωτὰ δὲ μοῦνα ἐξ αὐτέων λαμβάνειν. τοῦ δὲ μὴ περιπλῶσαι Λιβύην παντελῶς, αἴτιον τόδε ἐλέγετο· τὸ πλοῖον τοπρόσω οὐ δυνατὸν ἔτι προβαίνειν [f], ἀλλ' ἐνίσχεσθαι. Ξέρξης δὲ οὔ οἱ [g] συγγινώσκων λέγειν ἀληθέα, οὐκ ἐπιτελέσαντά τε τὸν προκείμενον ἄεθλον, ἀνεσκολόπισε, τὴν ἀρχαίην δίκην ἐπιτιμῶν. τούτου δὲ τοῦ Σατάσπεος εὐνοῦχος ἀπέδρη ἐς Σάμον, ἐπεί τε ἐπύθετο τάχιστα τὸν δεσπότεα τετελευτηκότα, ἔχων χρήματα μεγάλα, τὰ Σάμιος ἀνὴρ κατέσχε· τοῦ ἐπι-

[e] καταλιπόντες. [f] ἔτι εἶναι προβαίνειν. [g] δὲ οἱ οὐ.

ςάμενος τὸ οὔνομα, ἑκὼν ἐπιλήθομαι.

μδ. Τῆς δὲ Ασίης τὰ πολλὰ ὑπὸ Δαρείου ἐξευρέθη· ὃς βουλόμενος Ινδὸν ποταμὸν, ὃς κροκοδείλους δεύτερος οὗτος ποταμῶν πάντων παρέχεται, τοῦτον τὸν ποταμὸν εἰδέναι τῇ ἐς θάλασσαν ἐκδιδοῖ, πέμπει πλοίοισι ἄλλους τε τοῖσι ἐπίστευε τὴν ἀληθηΐην ἐρέειν, καὶ δὴ Σκύλακα [a] ἄνδρα Καρυανδέα. οἱ δὲ, ὁρμηθέντες ἐκ Κασπατύρου τε πόλιος καὶ τῆς Πακτυϊκῆς γῆς, ἔπλεον κατὰ ποταμὸν πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐς θάλασσαν. διὰ θαλάσσης δὲ πρὸς ἑσπέρην πλέοντες, τριηκοστῷ μηνὶ ἀπικνέονται ἐς τοῦτον τὸν χῶρον, ὅθεν ὁ Αἰγυπτίων βασιλεὺς τοὺς Φοίνικας, τοὺς πρότερον εἶπα, ἀπέστειλε περιπλώειν Λιβύην. μετὰ δὲ τούτους περιπλώσαντας, Ινδούς τε κατεστρέψατο Δαρεῖος, καὶ τῇ θαλάσσῃ ταύτῃ ἐχρᾶτο. οὕτος καὶ τῆς Ασίης, πλὴν τὰ πρὸς ἥλιον ἀνίσχοντα, τὰ ἄλλα ἀνεύρηται ὁμοῖα παρεχομένην τῇ Λιβύῃ.

[a] ἢ δὴ ἢ Σκύλακα.

sciam, volens oblivíscor.

44. Ceterum Asiae bona pars a Dario pervestigata est. Is cupidus cognoscendi ubinam Indus, qui secundus omnium fluviorum crocodilos praestat, mare influat, misit navibus cum alios quosdam, quos vera renunciaturos confidebat, tum Scylacem virum Caryandensem. Isti e Caspatyro urbe et terra Pactyica solventes, secundo flumine auroram versus atque solem orientem navigantes in mare, dehinc per ipsum mare occasum versus, tricesimo demum mense tenuerunt eum locum, unde rex Aegyptiorum eos Phoenices, quos antea dixi, miserat ad Africam circumnavigandam. Post horum circumnavigationem Darius Indos subegit, et eo mari potitus est. Ita Asiae (praeter eam quae orientem solem spectat) reliqua compertum est similia Africae suppeditare.

45. At Europa a nullis investigata est, neque qua ad orientem neque qua ad aquilonem vergit, an circumflua sit. Longitudine tamen cognoscitur praeter utramque accedere. Neque possum conjectura colligere, unde, quum una sit terra, triplicia sint ei nomina indita e mulierum cognominibus: ejusque fines ponantur Nilus fluvius Aegyptius, et Phasis Colchus : alii ajunt Tanain, Maeetam trajectusque Cimmerios: sed neque sciscitari nomina eorum qui distinxerunt, et unde nomina sumpserint. Jam enim Libya, Africa, quidem a plerisque Graecorum fertur sortita nomen a Libya muliere indigena: Asia vero, ab uxore Promethei. quamquam Lydi hoc sibi nomen participant, dicentes ab Asie filio Cotys, nepote Manis, Asiam appellatam, non ab Asia Promethei: unde et Sardibus tri-

με΄. Ἡ δὲ Εὐρώπη πρὸς ὐδαμῶν φανερή ἐστι γινωσκομένη, οὔτε τὰ πρὸς ἥλιον ἀνατέλλοντα, ὔτε τὰ πρὸς βορέην, εἰ περίρρυτός ἐστι· μήκεϊ δὲ γινώσκεται παρ᾽ ἀμφοτέρας παρήκυσα. ὐδ᾽ ἔχω συμβαλέσθαι, ἐπ᾽ ὅτευ μιῇ ἐύσῃ γῇ, οὐνόματα τριφάσια κέεται, ἐπωνυμίας ἔχοντα γυναικῶν· καὶ ὐρίσματα αὐτῇ Νεῖλός τε ὁ Αἰγύπτιος ποταμὸς ἐτέθη, καὶ Φᾶσις ὁ Κόλχος· οἱ δὲ Τάναϊν ποταμὸν, τὸν Μαιήτην καὶ πορθμήϊα τὰ Κιμμέρια λέγυσι. οὐδὲ τῶν διυρισάντων τὰ ὐνόματα πυθέσθαι, καὶ ὅθεν ἔθεντο τὰς ἐπωνυμίας. ἤδη γὰρ Λιβύη μὲν ἐπὶ Λιβύης.[a] λέγεται ὑπὸ τῶν πολλῶν Ἑλλήνων ἔχειν τὔνομα γυναικὸς αὐτόχθονος· ἡ δὲ Ασίη, ἐπὶ τῆς[b] Προμηθέος γυναικὸς τὴν ἐπωνυμίην. καὶ τύτυ μὲν μεταλαμβάνονται τῦ ὀνόματος Λυδοὶ, φάμενοι ἐπὶ Ασίεω[c], τῦ Κότυος, τῦ Μάνεω, κεκλῆσθαι τὴν Ασίην, ἀλλ᾽ ὐκ ἐπὶ τῆς[d]

[a] μὲν ἀπὸ Λιβύης. [b] Ασίη, ἀπὸ τῆς. [c] φάμενοι ἀπὸ Ασίεω.
[d] ὐκ ἀπὸ τῆς.

Προμηθέος Ασίης· ἀπό τευ καὶ τὴν ἐν Σάρδισι φυλὴν κεκλῆσθαι Ασιάδα. ἡ δὲ δὴ Εὐρώπη οὐδ' εἰ περίῤῥυτός ἐστι γινώσκεται πρὸς οὐδαμῶν ἀνθρώπων· οὔτε ὁκόθεν τὸ οὔνομα ἔλαβε τοῦτο, οὔτε ὅς τίς οἱ ἦν ὁ θέμενος φαίνεται, εἰ μὴ ἀπὸ τῆς Συρίης φήσομεν Εὐρώπης λαβεῖν τὸ οὔνομα τὴν χώρην· πρότερον δὲ ἦν ἄρα ἀνώνυμος, ὥσπερ αἱ ἕτεραι. ἀλλ' αὕτη γε ἐκ τῆς Ασίης τε φαίνεται ἐοῦσα, καὶ οὐκ ἀπικομένη ἐς τὴν γῆν ταύτην ἥτις νῦν ὑπὸ Ἑλλήνων Εὐρώπη καλέεται, ἀλλ' ὅσον ἐκ Φοινίκης, ἐς Κρήτην· ἐκ Κρήτης δὲ, ἐς Λυκίην [e]. ταῦτα μέν νυν ἐπὶ τοσοῦτον εἰρήσθω. τοῖσι γὰρ νομιζομένοισι αὐτέων χρησόμεθα.

μϛ'. Ὁ δὲ πόντος ὁ Εὔξεινος ἐπ' ὃν ἐστρατεύετο Δαρεῖος, χωρέων πασέων παρέχεται, ἔξω τοῦ Σκυθικοῦ, ἔθνεα ἀμαθέστατα. οὔτε γὰρ ἔθνος τῶν ἐντὸς τοῦ πόντου οὐδὲν ἔχομεν παραβαλέσθαι σοφίης πέρι, οὔτε ἄνδρα λόγιον οἴδαμεν γενόμενον πάρεξ τοῦ

[e] ἐς Λυβίην.

bum esse vocatam Asiadem. Europa autem an sit mari circumflua, ab nullis hominibus noscitur; neque unde hoc nomen acceperit, neque quis nominis autor extiterit, compertum est: nisi dicamus ab Europa Syria nomen accepisse regionem; ante vero, sicut ceterae, erat sine nomine. Tamen illam ex Asia fuisse constat, neque in hanc commeasse terram, quae nunc a Graecis vocatur Europa, sed e Phoenice tantum in Cretam, et e Creta in Lyciam. Haec hactenus dicta sint. nam illis quae existimata sunt de his, utemur.

46. Pontus autem Euxinus, in quem Darius fecit expeditionem, nationes exhibet regionum omnium imperitissimas, Scythica excepta. neque enim nationem earum quae sunt intra Pontum, aliquam sapientiae causa comparare possumus, neque virum eruditum fuisse novimus, praeter Scythicam gentem et Anacharsin. Ab

gente autem Scythica unum quidem maximum rerum humanarum, quas nos scimus, sapientissime omnium excogitatum est. at cetera non admiror. Quod maximum ab eis excogitatum, id est, ut neque quispiam qui ad eos se contulerit, aufugere, neque illi qui nolint inveniri, possint deprehendi. Siquidem nullae sunt eis urbes, nulla moenia exstructa: sed domos ferentes singuli, equestres sunt sagittarii, non ab aratione victitantes, sed ab pecoribus: etiam domicilia sunt ad juga jumentorum: quidni tales invicti sint et ad commiscendum difficiles arduique?

47. Haec autem sunt ab eis inventa cum opportunitate terrae, tum fluminum commilitio. nam haec terra, quum sit campestris, herbida, et aquis rigua, eamque interfluant flumina non multo pauciora numero quam in Aegypto fossae. Quorum quae sunt celebria nomine et a

Σκυθικȣ̃ ἔθνεος, κ̀ Ἀναχάρσιος. τῷ δὲ Σκυθικῷ γένεϊ ἓν μὲν τὸ μέγιϛον τῶν ἀνθρωπηΐων πρηγμάτων σοφώτατα πάντων ἐξεύρηται, τῶν ἡμεῖς ἴδμεν· τὰ μέντοι ἄλλα οὐκ ἄγαμαι. τὸ δὲ μέγιϛον οὕτω σφι ἀνεύρηται ὥϛε ἀποφυγέειν τε μηδένα ἐπελθόντα ἐπὶ σφέας· μὴ βȣλομένȣς τε ἐξευρεθῆναι, καταλαβεῖν μὴ οἷόν τε εἶναι. τοῖσι γὰρ μήτε ἄϛεα μήτε τείχεα ᾖ ἐκτισμένα, ἀλλὰ φερέοικοι ἐόντες πάντες, ἔωσι ἱπποτοξόται, ζῶντες μὴ [f] ἀπ᾽ ἀρότȣ [g], ἀλλ᾽ ἀπὸ κτηνέων, οἰκήματά τέ σφι ᾖ ἐπὶ ζευγέων, κῶς οὐκ ἂν εἴησαν ȣ̃τοι ἄμαχοί τε κ̀ ἄποροι προσμίσγειν [h];

μζ. Ἐξεύρηται δέ σφι ταῦτα, τῆς τε γῆς ἐȣ́σης ἐπιτηδέης κ̀ τῶν ποταμῶν ἐόντων σφι συμμάχων. ἥ τε γὰρ γῆ ἐȣ̃σα πεδιὰς αὕτη, ποιώδης [i] τε κ̀ εὔυδρός ἐϛι· ποταμοί τε δι᾽ αὐτῆς ῥέȣσι ȣ̓ πολλῷ τέῳ ἀριθμὸν ἐλάσσονες τῶν ἐν Αἰγύπτῳ διωρύχων· ὅσοι δὲ οὐνομαϛοί τέ εἰσι αὐτέων, καὶ προσ-

[f] ζώοντές τε μή. [g] ἀρότρȣ. [h] προσμίγειν. [i] πιώδης.

πλωτοὶ ἀπὸ θαλάσσης, τούτους ὀνομανέω. Ἴστρος μὲν, πεντάστομος· μετὰ δὲ, Τύρης τε καὶ Ὕπανις, καὶ Βορυσθένης, καὶ Παντικάπης, καὶ Ὑπάκυρις, καὶ Γέῤῥος, καὶ Τάναϊς. ῥέουσι γὰρ οἵδε κατὰ τάδε.

μη΄. Ἴστρος μὲν ἐὼν μέγιστος ποταμῶν πάντων, τῶν ἡμεῖς ἴδμεν, ἴσος αἰεὶ αὐτὸς ἑωϋτῷ ῥέει καὶ θέρεος καὶ χειμῶνος. πρῶτος δὲ τὸ ἀπ᾽ ἑσπέρης τῶν ἐν τῇ Σκυθικῇ ῥέων κατὰ τοιόνδε μέγιστος γέγονε, ποταμῶν καὶ ἄλλων ἐς αὐτὸν ἐκδιδόντων. εἰσὶ δὲ οἵδε οἱ μέγαν αὐτὸν ποιεῦντες· διὰ μέν γε τῆς Σκυθικῆς χώρης, πέντε μὲν οἱ ῥέοντες· τόν τε Σκύθαι Πόρατα καλέουσι, Ἕλληνες δὲ Πυρετόν· καὶ ἄλλος Τιαραντὸς, καὶ Αραρός τε καὶ Νάπαρις, καὶ Ορδησσός [a]. ὁ μὲν πρῶτος λεχθεὶς τῶν ποταμῶν, μέγας, καὶ πρὸς ἠῶ ῥέων, ἀνακοινοῦται τῷ Ἴστρῳ τὸ ὕδωρ· ὁ δὲ δεύτερος λεχθεὶς Τιαραντὸς, πρὸς ἑσπέρης τε μᾶλλον, καὶ ἐλάσσων· ὁ δὲ δὴ Αραρός τε καὶ ὁ Νάπαρις καὶ ὁ Ορδησσὸς [a],

[a] Ορδισσὸς bis.

mari adnavigabilia, ea recenſebo. Iſter, quinque oſtia habens: poſt hunc Tyres et Hypanis et Boryſthenes et Panticapes et Hypacyris et Gerrhus et Tanais. Iſti hunc in modum fluunt.

48. Iſter, omnium quos novimus fluviorum maximus, ſemper ſibiipſi par, tam aeſtate quam hyeme fluit, ab occaſu primus omnium, qui ſunt in Scythia. ob id omnium maximus, quod alii in eum influunt, qui ipſum ingentem reddunt; per Scythiam quidem delapſi, numero quinque. unus quem Porata Scythae appellant, Graeci Pyreton: alius, Tiarantus: tertius, Ararus: quartus, Naparis: quintus, Ordeſſus. Horum primo loco dictus fluvius, magnus eſt, et ad auroram fluens cum Iſtro aquam communicat: minor et ſecundus eſt Tiarantus, ad occaſum magis vergens. In medio horum euntes A-

rarus, Naparis et Ordessus, in Istrum infunduntur. Hi sunt vernaculi Scythiae amnes, qui illum augent.

49. Ex Agathyrsis autem fluens unus, Maris, Istro se immiscet: ex Haemi vero jugis tres alii ingentes ad aquilonem ventum, Atlas et Auras et Tibisis: per Thraciam vero et Crobyzos Thraces, Athres et Noes et Artanes: at ex Paeonibus ac monte Rhodope, medius interscindens Haemum Cius in ipsum erumpit. Quin ex Illyriis in aquilonem tendens Angrus, planitiem Tribalicam interfluens, Brongum intrat, Brongus iste Istrum. ita utrumque magnum Ister excipit. Praeterea ex regione quae est supra Umbricos, Carpis, et alius ad ventum aquilonem fluvius Alpis, in Istrum exeunt. Omnem enim Europam Ister emetitur

διὰ μέσου τούτων ἰόντες [b], ἐσβάλλουσι ἐς τὸν Ἴστρον· οὗτοι μὲν αὐτιγενέες ποταμοὶ Σκυθικοὶ συμπληθύουσι αὐτόν.

μθ′. Ἐκ δὲ Ἀγαθύρσων Μάρις ποταμὸς ῥέων συμμίσγεται τῷ Ἴστρῳ· ἐκ δὲ τοῦ Αἵμου τῶν κορυφέων τρεῖς ἄλλοι μεγάλοι ῥέοντες πρὸς βορέην ἄνεμον, ἐσβάλλουσι ἐς αὐτὸν, Ἄτλας, καὶ Αὔρας, καὶ Τίβισις [c]· διὰ δὲ Θρηΐκης καὶ Θρηΐκων τῶν Κροβύζων ῥέοντες, Ἄθρυς [d], καὶ Νόης, καὶ Ἀρτάνης [e], ἐκδιδοῦσι ἐς τὸν Ἴστρον· ἐκ δὲ Παιόνων, καὶ ὄρεος Ῥοδόπης, Κῖος ποταμὸς μέσος [f] σχίζων τὸν Αἷμον, ἐσδιδοῖ ἐς αὐτόν. ἐξ Ἰλλυριῶν δὲ ῥέων πρὸς βορέην ἄνεμον Ἄγγρος ποτάμος, ἐσβάλλει ἐς πεδίον τὸ Τριβαλλικὸν, καὶ ἐς ποταμὸν Βρόγγον· ὁ δὲ Βρόγγος ἐς τὸν Ἴστρον· οὕτω ἀμφοτέρους ἐόντας μεγάλους ὁ Ἴστρος δέκεται [g]. ἐκ δὲ τῆς κατύπερθε χώρης Ὀμβρίκων, Κάρπις ποταμὸς, καὶ ἄλλος Ἄλπις ποταμὸς πρὸς [h] βορέην ῥέοντες ἄνεμον, καὶ οὗτοι ἐκδιδοῦσι [i] ἐς αὐτόν.

[b] τουτέων ῥέοντες. [c] Τίβησις. [d] Ἄθρης. [e] Ἀτάρνης. [f] μέσον. [g] διαδέκεται. [h] Ἄλπις πρός. [i] ἐσδιδοῦσι.

ῥέει γὰρ δὴ διὰ πάσης τῆς Εὐρώπης ὁ Ἴστρος, ἀρξάμενος ἐκ Κελτῶν, οἳ ἔσχατοι πρὸς ἡλίου δυσμέων μετὰ Κύνητας οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ. ῥέων δὲ διὰ πάσης τῆς Εὐρώπης, ἐς τὰ πλάγια τῆς Σκυθίης ἐσβάλλει.

ν'. Τουτέων ὦν τῶν καταλεχθέντων, καὶ ἄλλων πολλῶν συμβαλλομένων τὸ σφέτερον ὕδωρ, γίνεται ὁ Ἴστρος ποταμῶν μέγιστος· ἐπεὶ ὕδωρ γε, ἓν πρὸς ἓν συμβάλλειν, ὁ Νεῖλος πλήθεϊ ἀποκρατέει [a]. ἐς γὰρ δὴ τοῦτον οὔτε ποταμὸς, οὔτε κρήνη οὐδεμίη ἐσδιδοῦσα, ἐς πλῆθός οἱ συμβάλλεται. ἴσος [b] δὲ αἰεὶ ῥέει ἔν τε θέρεϊ καὶ χειμῶνι ὁ Ἴστρος, κατὰ τοιόνδε τοι, ὡς ἐμοὶ δοκέει· τοῦ μὲν χειμῶνος ἐστὶ ὅσοσπέρ ἐστι· ὀλίγῳ τε μέζων τῆς ἑωϋτοῦ φύσιος γίνεται. ὕεται γὰρ ἡ γῆ αὕτη τοῦ χειμῶνος πάμπαν ὀλίγῳ· νιφετῷ δὲ πάντα χρᾶται. τοῦ δὲ θέρεος ἡ χιὼν ἡ ἐν τῷ χειμῶνι πεσοῦσα ἀμφιλαφὴς, τηκομένη πάντοθεν ἐσδιδοῖ ἐς τὸν Ἴ-

[a] ἐπικρατέει. [b] οἱ συμβάλλεταί οἱ. ἴσος.

ſumpto ex Celtis initio, qui omnium in Europa ad ſolis occaſum extremi ſunt poſt Cynetas, totamque permenſus Europam, tranſverſa ingreditur Scythiae.

50. His quae recenſui fluminibus, et aliis multis aquas ſuas conferentibus, Iſter fit omnium fluviorum maximus. nam ſi alterius cum alterius aqua comparetur, profecto Nilus copia aquae antecellit, quod in eum nullus neque fluvius neque fons ingrediens, ad incrementum aquae confert. Quod autem Iſter ſibi ſemper par fluit tam aeſtate quam hyeme, ob id fit, ut mihi videtur, quod hyeme eſt quantus eſt, et parvulo major fit ſuâ naturâ. nam per hyemem penitus paululum in ea regione pluit, ſed ubique ningit. Aeſtate vero nix, quae ſub hyemem decidit permulta, undique liquefacta in Iſtrum di-

labitur. Sic et ipsa haec nix in eum immissa, simul auget, cumque ea imbres multi atque vehementes. Quippe per aestatem pluit: quo tempore quanto plus aquae sol ad se attrahit quam hyeme, tanto magis multiplicantur Istro immixta aestate quam hyeme. Ita quum paria faciat Ister datis aquis et acceptis, fit ut semper videatur sibi esse similis.

51. Ex fluviis ergo qui apud Scythas sunt, unus est Ister. Post hunc Tyres, qui ab aquilone means, ortum trahit ex ingenti palude, quae Scythicam terram a Neuride separat. ad ostium hujus incolunt Graeci qui Tyritae vocantur.

52. Tertium flumen est Hypanis ex Scythia veniens, et ex magna palude profluens, circum quam pascuntur equi silvestres candidi: recteque vocatur haec palus, mater Hypanis. Ex hac igitur ortus

ϛρον. αὕτη τε δὴ ἡ χιὼν ἐσδιδοῦσα ἐς αὐτὸν, συμπληθύει, καὶ ὄμβροι πολλοί τε καὶ λάβροι σὺν αὐτῇ. ὕει γὰρ δὴ τὸ θέρος. ὅσῳ δὲ πλέον ἐπ᾽ ἑωϋτὸν ὕδωρ ὁ ἥλιος ἐπέλκεται ἐν τῷ θέρεϊ ἢ ἐν τῷ χειμῶνι, τοσῦτῳ τὰ συμμισγόμενα τῷ Ἴϛρῳ, πολλαπλήσιά ἐϛι τοῦ θέρεος ἤπερ τοῦ χειμῶνος. ἀντιτιθέμενα δὲ ταῦτα, ἀντισήκωσις γίνεται, ὥς τε ἴσον μιν αἰεὶ φαίνεσθαι ἐόντα.

να΄. Εἷς μὲν δὴ τῶν ποταμῶν τοῖσι [c] Σκύθῃσι ἐϛὶ ὁ Ἴϛρος· μετὰ δὲ τοῦτον, Τύρης. ὃς ἀπὸ βορέω μὲν ἀνέμου ὁρμᾶται, ἄρχεται δὲ ῥέων ἐκ λίμνης μεγάλης, ἣ οὐρίζει τήν τε Σκυθικὴν καὶ Νευρίδα γῆν. ἐπὶ δὲ τῷ ϛόματι αὐτοῦ κατοίκηνται Ἕλληνες, οἳ Τυρῖται καλέονται.

νβ΄. Τρίτος δὲ Ὕπανις ποταμὸς ὁρμᾶται ἐκ [d] τῆς Σκυθικῆς, ῥέει δὲ ἐκ λίμνης μεγάλης, τὴν πέριξ νέμονται ἵπποι ἄγριοι λευκοί. καλέεται δ᾽ ἡ λίμνη αὕτη ὀρθῶς, μήτηρ Ὑπάνιος· ἐκ ταύτης ὦν ἀ-

c Haec vox τοῖσι non eſt in MS. d ὁρμᾶται μὲν ἐξ.

νατέλλων ὁ Ὕπανις ποταμὸς ῥέει. ἐπὶ μὲν πέντε ἡμερέων πλόον βραχὺς κὴ γλυκύς ἐστι· ἀπὸ δὲ τούτου, πρὸς θαλάσσης τεσσέρων ἡμερέων πλόον, πικρὸς δεινῶς. ἐκδιδοῖ γὰρ ἐς αὐτὸν κρήνη πικρή, οὕτω δή τι ἐοῦσα πικρή, ἣ μεγάθεϊ σμικρὴ ἐοῦσα, κιρνᾷ τὸν Ὕπανιν, ἐόντα ποταμὸν ἐν ὀλίγοισι μέγαν. ἔστι δὲ ἡ κρήνη αὕτη ἐν οὔροισι χώρης τῆς τε ἀροτήρων Σκυθέων κὴ Ἀλαζόνων. οὔνομα δὲ τῇ κρήνῃ, καὶ ὅθεν ῥέει τῷ χώρῳ, Σκυθιστὶ μὲν, Ἐξαμπαῖος· κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν, Ἱραὶ ὁδοί. συνάγουσι δὲ τὰ τέρματα ὅ, τε Τύρης καὶ ὁ Ὕπανις κατὰ Ἀλαζόνας· τὸ δὲ ἀπὸ τούτου, ἀποστρέψας ἑκάτερος ῥέει εὐρύνων τὸ μέσον.

νγʹ. Τέταρτος δὲ, ὁ Βορυσθένης ποταμὸς, ἐστί τε [e] μέγιστός τε μετὰ Ἴστρον τούτων κὴ πολυαρκέστατος, κατὰ γνώμας τὰς ἡμετέρας, οὔτι μοῦνον τῶν Σκυθικῶν ποταμῶν, ἀλλὰ κὴ τῶν ἄλλων ἁπάντων, πλὴν

[e] ποταμὸς, ὃς ἐστί τε.

amnis Hypanis fluit fere quinque dierum navigatione, brevis, et dulcis, sed inde quatuor a mari dierum navigatione sanequam amarus, propter amarum qui in eum fluit fontem: adeo, inquam, amarum, ut quum sit exiguus magnitudine, inficiat Hypanin flumen, in paucis magnum. Est autem hic fons in finibus regionis Scytharum aratorum et Alizonum, eodem nomine quo locus unde emanat, Scythice quidem Exampaeus, Graeca autem lingua, ἱϱαὶ ὁδοὶ, *id est, sacrae viae.* Apud Alizonas autem contrahunt terminos suos Tyres et Hypanis: mox deinde in diversum abeuntes, mediam intercapedinem laxant.

53. Quartus fluvius est Borysthenes, secundum Istrum maximus illorum, et nostra sententia, non modo Scythicorum fluviorum longe uberrimus, sed etiam ceterorum omnium, praeter Aegyptium Ni-

lum, cum quo non licet alium comparare. Ceterorum autem uberrimus est Borysthenes, pascua praebens amoenissima et accommodatissima pecoribus,nec non optimorum excellenter plurimorum piscium affatim: idem ad potandum suavissimus, limpidus inter turbidos fluens; juxta quem sementis optima fit, et herba, ubi non seritur regio, altissima. In hujus quoque ostio ingens vis salis sua sponte concrescit. Praebet item ingentia cete ad salsuram, spinis carentia, quae antacaeos appellant. Alia praeterea praestat admiratione digna. Porro quadraginta quidem dierum navigatione usque ad locum Gerrheum, cognoscitur ab aquilone vento fluere: at superiora per quae fluit, nemo hominum eloqui potest: videtur tamen fluere per solitudinem ad Scytharum agricolarum plagam. nam hi Scythae decem dierum navigatione accolunt hoc flumen. Cujus

Νείλου τοῦ Αἰγυπτίου. τούτῳ γὰρ οὐκ οἷά τέ ἐστι συμβαλέειν ἄλλον ποταμόν· τῶν δὲ λοιπῶν Βορυσθένης ἐστὶ πολυαρκέστατος, ὃς νομάς τε καλλίστας καὶ εὐκομιδεστάτας [a] κτήνεσι παρέχεται, ἰχθύας τε ἀρίστους διακριδὸν πλείστους [b]· πίνεσθαί τε ἥδιστός ἐστι· ῥέει τε καθαρὸς παρὰ θολεροῖσι· σπόρος τε παρ' αὐτὸν ἄριστος γίνεται· ποίη τε, τῇ οὐ σπείρεται ἡ χώρη, βαθυτάτη. ἅλες τε ἐπὶ τῷ στόματι αὐτοῦ αὐτόματοι πήγνυνται ἄπλετοι· κήτεά τε μεγάλα ἀνάκανθα, τὰ ἀντακαίους καλέουσι, παρέχεται ἐς ταρίχευσιν, ἄλλά τε πολλὰ θωϋμάσαι ἄξια. μέχρι μέν νυν Γέῤῥου χώρου, ἐς τὸν τεσσεράκοντα ἡμερέων πλόος ἐστὶ, γινώσκεται ῥέων ἀπὸ βορέω ἀνέμου· τὸ δὲ κατύπερθε δι' ὧν ῥέει ἀνθρώπων οὐδεὶς ἔχει φράσαι. φαίνεται δὲ ῥέων δι' ἐρήμου ἐς τῶν γεωργῶν τῶν Σκυθέων τὴν χώρην. οὗτοι γὰρ οἱ Σκύθαι παρ' αὐτὸν ἐπὶ δέκα ἡμερέων πλόον νέμονται. μούνου δὲ τούτου τοῦ ποταμοῦ

[a] εὐνομιδεστάτας. [b] διακριδὸν καὶ πλείστους.

καὶ Νείλου οὐκ ἔχω φράσαι τὰς πηγάς· δοκέω δὲ, οὐδὲ οὐδεὶς Ἑλλήνων. ἀγχοῦ τε δὴ θαλάσσης ὁ Βορυσθένης ῥέων γίνεται, καί οἱ συμμίσγεται ὁ Ὕπανις ἐς τὠυτὸ τέλος ἐκδιδούς. τὸ δὲ μεταξὺ τῶν ποταμῶν τουτέων ἐὸν ἔμβολον τῆς χώρης, Ἱππολέων ἄκρη καλέεται. ἐν δὲ αὐτῷ ἱρὸν Μητρὸς [c] ἐνίδρυται· πέρην δὲ τοῦ ἱροῦ ὑπὸ τῷ Ὑπάνι Βορυσθενῖται κατοίκηνται. ταῦτα μὲν τὰ ἀπὸ τουτέων τῶν ποταμῶν.

νδ'. Μετὰ δὲ τούτους πέμπτος ποταμὸς ἄλλος, τῷ οὔνομα Παντικάπης. ῥέει μὲν γὰρ καὶ οὗτος ἀπὸ βορέω τε ἐκ λίμνης [d], καὶ τὸ μεταξὺ τούτου τε καὶ τοῦ Βορυσθένεος νέμονται οἱ γεωργοὶ Σκύθαι· ἐκδιδοῖ δὲ ἐς τὴν Ὑλαίην. παραμειψάμενος δὲ ταύτην, τῷ Βορυσθένεϊ συμμίσγεται.

νέ. Ἕκτος δὲ Ὑπάκαρις ποταμὸς, ὃς ὁρμᾶται μὲν ἐκ λίμνης, διὰ μέσων δὲ τῶν νομάδων Σκυθέων ῥέων, ἐκδιδοῖ κατὰ Καρκινῖτιν [e] πόλιν, ἐς δεξιὴν ἀπέργων τήν τε

[c] ἱρὸν Δήμητρος. [d] βορέω τε καὶ ἐκ λίμνης. [e] MS. Καρκίνιτον.

tantum ac Nili fontes nec ipſe poſſum, nec ullum Graecorum reor poſſe dicere. Idem Boryſthenes prope ad mare accedit, et Hypanis cum eo miſcetur eundem in finem egrediens. Quod inter hos amnes intereſt roſtrum regionis, Hippoleon promontorium vocitatur, ubi delubrum Matris exſtructum eſt. Ultra quod delubrum ad Hypanin incolunt Boryſthenitae. Hactenus quae ab his fluviis.

54. Poſt hos alius, qui quintus eſt, nomine Panticapes, et ipſe ab aquilone fluens e palude: inter quem et Boryſthenem incolunt Scythae agricolae. Idem in Hylaeam ingreditur, qua tranſmiſſa, Boryſtheni immiſcetur.

55. Sextus eſt Hypacaris, qui e palude manans, medioſque Scythas nomadas perfluens, in mare volvitur, juxta Carcinitin oppidum, ad dexteram coërcens

Hylaeam, et Dromon qui dicitur Achillis.

56. Septimus eſt Gerrhus, nomen a loco obtinens, qui a Boryſthene dirimitur circa ea loca apud quae Boryſthenes cognoſcitur: cui loco nomen eſt Gerrho; fluens autem ad mare diſterminat regionem Scytharum nomadum ac regiorum, et in Hypacarin dilabitur.

57. Octavus Tanais, qui ſuperius e vaſta palude profluens, in aliam vaſtiorem diffunditur, nomine Maeotin, quae diſcludit regios Scythas a Sauromatis. In hunc Tanain alius influit, nomine Hyrgis.

58. His celeberrimis amnibus ita Scythae praediti ſunt. Gramen quod in Scythia germinat, omnium quae nos novimus germinum ſuccoſiſſimum eſt: quod

Ὑλαίην καὶ τὸν Ἀχιλλήϊον καλεόμενον Δρόμον.

νϛʹ. Ἕβδομος δὲ Γέῤῥος ποταμὸς ἀπέχισαι μὲν ἀπὸ τῦ Βορυσθένεος, κατὰ τῦτο τῆς χώρης ἐς ὃ γινώσκεται ὁ Βορυσθένης· ἀπέχισαι μέν νυν ἐκ τῦτυ τῦ χώρυ· ὔνομα δὲ ἔχει τόπερ ὁ χῶρος αὐτὸς, Γέῤῥος. ῥέων δ' ἐς θάλασσαν, ὑρίζει τήν τε τῶν Νομάδων χώρην, καὶ τὴν τῶν βασιληΐων Σκυθέων· ἐκδιδοῖ δὲ ἐς τὸν Ὑπάκαριν.

νζʹ. Ογδοος δὲ δὴ Τάναϊς ποταμὸς, ὃς ῥέει τἀνέκαθεν ἐκ λίμνης μεγάλης ὁρμεώμενος, ἐκδιδοῖ δὲ ἐς μέζω ἔτι λίμνην καλεομένην Μαιῆτιν, ἣ ὑρίζει Σκύθας τε τὺς βασιληΐυς καὶ Σαυρομάτας· ἐς δὲ Τάναϊν τῦτον ἄλλος ποταμὸς ἐσβάλλει τῷ ὔνομά ἐςι Ὕργις.

νηʹ. Τοῖσι μὲν δὴ ὐνομαςοῖσι ποταμοῖσι ὕτω δή τι οἱ Σκύθαι ἐσκευάδαται. τοῖσι δὲ κτήνεσι ἡ ποίη ἀναφυομένη ἐν τῇ Σκυθικῇ, ἔςι ἐπιχυλωτάτη πασέων ποιέων τῶν ἡ-

μεῖς ἴδμεν. ἀνοιγομένοισι δὲ τοῖσι κλήνεσι ἔστι σταθμώσασθαι ὅτι τοῦθ' οὕτως ἔχει.

νθ'. Τὰ μὲν δὴ μέγιστα οὕτω σφι εὔπορά ἐστι· τὰ δὲ λοιπὰ νόμαια κατὰ τάδέ σφι διακέεται. θεοὺς μὲν μούνους τούσδε ἱλάσκονται, Ἱστίην μὲν μάλιστα, ἐπὶ δὲ, Δία τε καὶ Γῆν, νομίζοντες τὴν Γῆν τοῦ Διὸς εἶναι γυναῖκα. μετὰ δὲ τούτους, Ἀπόλλωνά τε καὶ οὐρανίην Ἀφροδίτην, καὶ Ἡρακλέα, καὶ Ἄρεα. τούτους μὲν πάντες οἱ Σκύθαι νενομίκασι. οἱ δὲ βασιλήϊοι [a] Σκύθαι καὶ τῷ Ποσειδέωνι θύουσι. ὀνομάζεται [b] δὲ Σκυθιστὶ, Ἱστίη μὲν, Ταβιτί· Ζεὺς δὲ ὀρθότατα κατὰ γνώμην γε τὴν ἐμὴν καλεόμενος Παπαῖος· Γῆ δὲ, Ἀπία· Ἀπόλλων δὲ, Οἰτόσυρος· οὐρανίη δὲ Ἀφροδίτη, Ἀρίππασα [c]· Ποσειδέων δὲ, Θαμιμασάδας [d]. ἀγάλματα δὲ καὶ βωμοὺς καὶ νηοὺς οὐ νομίζουσι ποιέειν, πλὴν Ἄρηϊ· τούτῳ δὲ νομίζουσι.

ξ'. Θυσίη δὲ ἡ αὐτὴ πᾶσι κατέστηκε περὶ πάντα τὰ ἱρὰ ὁμοίως, ἑρδομένη ὧδε [e]·

[a] οἱ δὲ καλεόμενοι βασιλήϊοι. [b] ὀνομάζονται. [c] Ἀρτίμπασα. [d] Θαμιμασάδης. [e] ἑρδομένη δὲ ὧδε.

ita ſe habere diſſectis pecoribus licet diſcernere.

59. Et ſic quidem maxima apud eos abundant. cetera autem ad ritus et leges hoc modo ſunt eis inſtituta. Deorum hos ſolos placant, Veſtam ante omnes, deinde Jovem ac Tellurem; exiſtimantes Tellurem Jovis conjugem eſſe. Poſt hos Apollinem, et coeleſtem Venerem, et Herculem, et Martem. Hos cuncti Scythae deos arbitrantur. Sed qui regii Scythae vocantur, etiam Neptuno ſacrificant. Appellantur autem Scythice Veſta Tabiti: Jupiter, Papaeus mea ſententia rectiſſime: Tellus, Apia: Apollo, Oetoſyrus: coeleſtis Venus, Arippaſa: Neptunus, Thamimaſades. Simulacra et aras et delubra facere non ſtatuunt, praeterquam Marti; huic probant facere.

60. Idem ſacrificium prorſus omnibus apud omnia templa fieri eodem mo-

do est institutum, quod tale est: Victima ipsa primoribus implicita pedibus sistitur, cujus a tergo stans qui sacrificat, tracto principio funis, pecudem dejicit, eaque concidente deum invocat, cui illam mactat: deinde circumdat laqueum collo, tum injecto baculo circumagit, ac strangulat non incenso igni, non prosecans, non adspergens; sed ubi pecudem strangulavit, et pellem detraxit, ad coquendum se vertit.

61. Verum quum Scythica regio lignorum sit admodum inops, hoc ab illis ad carnem coquendam excogitatum est. Ubi victimas pelle nudarunt, nudant quoque ossa carnibus, dehinc injiciunt, si ad manum habeant, lebetes indigenas Lesbiis crateribus maxime assimiles, nisi quod sunt multo capaciores; in hos injicientes succensis ossibus hostiarum, coquunt. Si autem non adfuerit lebes, omnes carnes hostiarum in alvos illarum injicientes a-

τὸ μὲν ἱρήϊον αὐτὸ ἐμπεποδισμένον τοὺς ἐμπροσθίους πόδας ἕστηκε [f]· ὁ δὲ θύων, ὄπισθεν τοῦ κτήνεος ἑστεὼς, σπάσας τὴν ἀρχὴν τοῦ στρόφου, καταβάλλει μιν· πίπτοντος δὲ τοῦ ἱρηΐου, ἐπικαλέει τὸν θεὸν τῷ ἂν θύῃ· καὶ ἔπειτα βρόχῳ περιὼν ἔβαλε τὸν αὐχένα. σκυταλίδα δὲ ἐμβαλὼν περιάγει, καὶ ἀποπνίγει· οὔτε πῦρ ἀνακαύσας, οὔτε καταρξάμενος, οὔτ' ἐπισπείσας. ἀποπνίξας δὲ καὶ ἀποδείρας, τράπεται πρὸς ἕψησιν.

ξα'. Τῆς δὲ γῆς τῆς Σκυθικῆς αἰνῶς ἀξύλου ἐούσης, ὧδέ σφι ἐς τὴν ἕψησιν τῶν κρεῶν ἐξεύρηται. ἐπεὰν ἀποδείρωσι τὰ ἱρήϊα, γυμνοῦσι τὰ ὀστέα τῶν κρεῶν· ἔπειτα ἐσβάλλουσι [g] ἢν μὲν τύχωσι ἔχοντες ἐς λέβητας ἐπιχωρίους, μάλιστα Λεσβίοισι κρητῆρσι προσεικέλους, χωρὶς ἢ ὅτι πολλῷ μέζονας· ἐς τούτους ἐσβάλλοντες, ἕψουσι ὑποκαίοντες τὰ ὀστέα τῶν ἱρηΐων· ἢν δὲ μή σφι παρῇ λέβης, οἱ δὲ ἐς τὰς γαστέρας τῶν ἱρηΐων ἐσβάλλοντες τὰ κρέα πάντα, καὶ πα-

[f] ἐμπεποδισμένον τοὺς δύο πόδας τοὺς ἐμπροσθίους ἕστηκε. Sed insuper habet MS. ἐμπεποδισμένος. [g] ἔπειτα δ' ἐσβάλλουσι.

ῥαμίζαντες ὕδωρ, ὑποκαίουσι τὰ ὀστέα. τὰ δὲ αἴθεται κάλλιστα. αἱ δὲ γαστέρες χωρέουσι εὐπετέως τὰ κρέα ἐψιλωμένα τῶν ὀστέων· καὶ οὕτω βοῦς τε ἑωϋτὸν ἐξέψει, καὶ τἄλλα ἱρήϊα ἑωϋτὸ ἕκαστον. ἐπεὰν δὲ ἑψηθῇ τὰ κρέα, ὁ θύσας, τῶν κρεῶν καὶ τῶν σπλάγχνων ἀπαρξάμενος, ῥίπτει ἐς τὸ ἔμπροσθεν. θύουσι δὲ καὶ τἄλλα πρόβατα, καὶ ἵππους μάλιστα.

ξβ′. Τοῖσι μὲν δὴ ἄλλοισι τῶν θεῶν οὕτω θύουσι, καὶ ταῦτα τῶν κτηνέων.. τῷ δὲ Ἀρηϊ ὧδε κατὰ νόμους· ἑκάστοισι τῶν ἀρχηΐων ἐσίδρυταί σφι Ἄρηος ἱρὸν τοιόνδε· φρυγάνων φάκελοι συννενέαται ὅσον τ᾽ ἐπὶ σταδίους τρεῖς μῆκος καὶ εὖρος, ὕψος δὲ ἔλασσον· ἄνω δὲ τούτου, τετράγωνον ἄπεδον πεποίηται· καὶ τὰ μὲν τρία τῶν κώλων ἐστι ἀπότομα, κατὰ δὲ τὸ ἕν, ἐπιβατόν. ἔτεος δὲ ἑκάστου ἁμάξας πεντήκοντα καὶ ἑκατὸν ἐπινέουσι φρυγάνων. ὑπονοστέει γὰρ δὴ αἰεὶ ὑπὸ τῶν χειμώνων. ἐπὶ τούτου δὴ τοῦ ὄγ-

qua admixta, ossa succendunt. Quibus acerrime ardentibus, et alvis facile capientibus carnes ossibus separatas, ita fit ut bos se ipse excoquat: et item cetera sacrificia unumquodque se ipsum. Coctis carnibus, is qui immolavit, earum atque intestinorum proficias sumens ante se porricit. Immolant autem et alias oves, tum praecipue equos.

62. Et aliis quidem diis hunc in modum et tales pecudes immolant: Marti vero sic legitimo ritu. Singulis in curiis ab eis struitur tale templum: Sarmentorum fasces congeruntur trium in longum latumque stadiorum, minoris tamen sublimitatis: desuper quadrata planities efficitur: tria latera praerupta sunt, quartum acclive, per quod ascendatur. Eo quotannis comportant centum quinquaginta plaustra sarmentorum. nam semper propter coeli

atrocitatem illa marceſcunt. Super hanc congeriem ferreus acinaces a ſingulis vetuſtus ſtatuitur. Idque eſt Martis ſimulacrum, cui annuas hoſtias offerunt ovium et equorum; et ſane plura his ſacrificant quam ceteris diis. Ex hoſtibus captivis centeſimum quemque immolant, non eodem quo et pecora modo, ſed diverſo. nam ubi capitibus vinum libaverunt, ipſos in vas jugulant: dehinc in congeriem ſarmentorum ſublatum acinaci cruorem invergunt. Hunc quidem ſupra ferunt. inferius autem prope templum iſta faciunt: Virorum interemptorum omnes humeros dextros praecidunt una cum manibus et in aërem jaciunt. et ceteris deinde ſolennibus confectis abeunt: quò autem ceciderit manus, ibi jacet, ac ſeorſum cadaver.

63. Et ſacrificia quidem haec eis ſunt

κυ ἀκινάκης σιδήρεος ἵδρυται ἀρχαῖος ἑκάστοισι· καὶ τοῦτ' ἐστὶ τοῦ Αρηος τὸ ἄγαλμα. τούτῳ δὲ τῷ ἀκινάκεϊ θυσίας ἐπετείους προσάγουσι προβάτων καὶ ἵππων. καὶ δὴ καὶ τοῖσδ' ἔτι πλέω θύουσι ἢ τοῖσι ἄλλοισι θεοῖσι. ὅσους δ' ἂν τῶν πολεμίων ζωγρήσωσι, ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν ἄνδρα ἕνα [a] θύουσι, τρόπῳ οὐ τῷ αὐτῷ ᾧ καὶ τὰ πρόβατα, ἀλλ' ἑτεροίῳ. ἐπεὰν γὰρ οἶνον ἐπισπείσωσι κατὰ τῶν κεφαλέων, ἀποσφάζουσι τοὺς ἀνθρώπους ἐς ἄγγος· καὶ ἔπειτα ἀνενείκαντες ἄνω ἐπὶ τὸν ὄγκον τῶν φρυγάνων, καταχέουσι τὸ αἷμα τοῦ ἀκινάκεος. ἄνω μὲν δὴ φορέουσι τοῦτο. κάτω δὲ παρὰ τὸ ἱρὸν ποιεῦσι τάδε· τῶν ἀποσφαγέντων ἀνδρῶν τοὺς δεξιοὺς ὤμους πάντας ἀποτάμνοντες σὺν τῇσι χερσὶ, ἐς τὸν ἠέρα ἱεῖσι· καὶ ἔπειτα καὶ τὰ ἄλλα ἀπέρξαντες ἱρήϊα ἀπαλλάσσονται. χεὶρ δὲ τῇ ἂν πέσῃ κέαται [b], καὶ χωρὶς ὁ νεκρός.

ξγ'. Θυσίαι μέν νυν αὗταί σφι κατε-

a Vocem ἕνα non agnoſcit MS. b κέεται.

ςέασι. ὑσὶ δὲ οὗτοι ὐδὲν νομίζυσι, ὐδὲ τρέφειν τὸ παράπαν ἐν τῇ χώρῃ θέλυσι.

ξδ΄. Τὰ δ᾽ ἐς πόλεμον ἔχοντα ὧδέ σφι διακέαται [c]. ἐπεὰν τὸν πρῶτον ἄνδρα καταβάλῃ ἀνὴρ Σκύθης, τῦ αἵματος ἐμπίνει. ὅσυς δ᾽ ἂν φονεύσῃ ἐν τῇ μάχῃ, τυτέων τὰς κεφαλὰς ἀποφέρει τῷ βασιλέϊ. ἀπενείκας μὲν γὰρ κεφαλὴν, τῆς ληΐης μεταλαμβάνει τὴν ἂν λάβωσι· μὴ ἐνείκας δὲ, ὔ. ἀποδείρει δὲ αὐτὴν τρόπῳ τοιῷδε· περιταμὼν κύκλῳ περὶ τὰ ὦτα, καὶ λαβόμενος τῆς κεφαλῆς, ἐξίει. μετὰ δὲ, σαρκίσας βοὸς πλευρῇ, δέψει τῇσι χερσί. ὀργίσας δὲ αὐτὸ, ἅτε χειρόμακτρον ἔκτηται. ἐκ δὲ τῶν χαλινῶν τῦ ἵππου τὸν αὐτὸς [d] ἐλαύνῃ, ἐκ τύτυ ἐξάπτει, καὶ ἀγάλλεται. ὃς γὰρ ἂν πλεῖςα δέρματα χειρόμακτρα ἔχῃ [e], ἀνὴρ ἄριςος οὗτος κέκριται. πολλοὶ δὲ αὐτέων ἐκ τῶν αποδερμάτων καὶ χλαίνας ἐπείνυσθαι ποιεῦσι, συῤῥάπτοντες κάταπερ βαίτας. πολλοὶ δὲ ἀνδρῶν ἐχθρῶν

[c] διακεῖται. [d] τὸν ἂν αὐτὸς. [e] ἔχοι.

instituta. Sues vero illi nihil morantur, quas nec alere omnino in regione volunt.

64. Quae vero ad bellum attinent, hunc in modum sunt eis comparata. Quem primum virum dejecerit vir Scytha, ejus sanguinem potat: quoscunque in proelio interemerit, eorum capita regi offert. nam capite allato, fit praedae quamcunque ceperit particeps, alioqui expers. Caput hoc modo pelle nudat: In orbem illud amputat circa aures, verticeque sumpto excutit, deinde involvens carni ex bovis latere, manibus subigit ac mollitum, tanquam mantile possidet, eaque ex habenis equi quem agitat, appensa gloriatur: ut quisque enim coria mantilia plurima habet, ita vir judicatur praestantissimus. Sunt quoque multi qui ex corii hujus frustris laenas densari curant, consarcinantes tanquam sisyras pastorias. Multi

etiam occiſorum hoſtium manus dextras cum ipſis unguibus excoriant, opercula haec pharetrarum habentes. Eſt autem inter omnia coria humanum fere et craſſum maxime et candore ſplendidum. Multi etiam totos homines excoriatos, et ſuper ligna extentos, in equis circumferunt.

65. Haec ab illis ita ſunt recepta. Ipſis autem capitibus non utique omnium, ſed inimiciſſimorum haec faciunt; quiſque illud quod eſt infra ſupercilia, ferra abciſum prorſus expurgat: et crudo tantum bovis corio, ſi pauper ſit; ſin dives, non modo exterius inducit bovino corio, verum etiam interius inaurat, et ſic uterque pro poculo utitur. Idem agunt de familiaribus, ſi inter eos extiterint diſcordiae, et alter eorum apud regem victoria ſit potitus. Haec capita hoſpitibus, qui ad eum veniunt alicujus apud ipſum

τὰς δεξιὰς χέρας νεκρῶν ἐόντων ἀποδείραντες αὐτοῖσι [a] ὄνυξι, καλύπτρας τῶν φαρετρέων ποιεῦνται. δέρμα δὲ ἀνθρώπου, καὶ παχὺ καὶ λαμπρόν, ἦν ἄρα σχεδὸν δερμάτων πάντων λαμπρότατον λευκότητι. πολλοὶ δὲ καὶ ὅλους ἄνδρας ἐκδείραντες, καὶ διατείναντες ἐπὶ ξύλων, ἐπ' ἵππων περιφέρουσι. ταῦτα μὲν δὴ οὕτω σφι νενόμισται.

ξε'. Αὐτὰς δὲ τὰς κεφαλάς, οὔτι [b] πάντων, ἀλλὰ τῶν ἐχθίστων, ποιεῦσι τάδε· ἀποπρίσας ἕκαστος πᾶν τὸ ἔνερθεν τῶν ὀφρύων, ἐκκαθαίρει· καὶ ἢν μὲν ᾖ πένης, ὅδ' ἔξωθεν ὠμοβοέην μούνην περιτείνας, οὕτω χρᾶται· ἢν δὲ ᾖ πλούσιος [c], τὴν μὲν ὠμοβοέην περιτείνει· ἔσωθεν δὲ περιχρυσώσας, οὕτω χρᾶται ποτηρίῳ. ποιεῦσι δὲ τοῦτο καὶ ἐκ τῶν οἰκηΐων, ἤν σφι διάφοροι γίνωνται, καὶ ἢν ἐπικρατήσῃ [d] αὐτοῦ παρὰ τῷ βασιλέϊ. ξείνων δέ οἱ ἐλθόντων τῶν ἂν λόγον ποιέηται, τὰς κεφαλὰς ταύτας παραφέρει, καὶ

[a] ἀποδείραντες καὶ διατείναντες αὐτοῖσι. [b] οὔτοι. [c] δὲ πλούσιος. [d] ἤν τις ἐπικρατήσῃ.

tradita a majoribus divinatio. Sed Enaries et ſemiviri, ajunt ſibi a Venere tradi divinationem. Tiliae igitur fronde vaticinantur. Tiliam ubi quis trifariam ſciderit, digitis ſuis eam implicans ac reſolvens vaticinatur.

68. Horum tres maxime probatos arceſſit rex Scytharum, quoties aegrotat, eo modo quo dixi vaticinantes; et ſemper fere hi dicunt talia, nempe hunc aut illum civem (indicant autem hominem de quo loquuntur) pejeraſſe per regia ſolia; (eſt autem Scythis mos plerunque jurandi per regia ſolia, quum maximum volunt interponere jusjurandum) protinuſque is, quem dixerint pejeraſſe, adductus, coarguitur ſcientia divinandi, tanquam compertus falſo dejeraſſe per regia ſolia, et ob id regem aegrotare. Si ille inficiatur

τρωΐη ἐστί [a]. οἱ δὲ ἐνάριες καὶ οἱ ἀνδρόγυνοι τὴν Ἀφροδίτην σφι λέγουσι μαντικὴν δοῦναι· φιλύρης ὦν φλοιῷ μαντεύονται, ἐπεὰν τὴν φιλύρην τρίχα [b] σχίσῃ διαπλέκων ἐν τοῖσι δακτύλοισι τοῖσι ἑωϋτοῦ, καὶ διαλύων, χρᾷ.

ξη΄. Ἐπεὰν δὲ βασιλεὺς ὁ Σκυθέων κάμῃ, μεταπέμπεται τῶν μαντίων ἄνδρας τρεῖς τοὺς εὐδοκιμέοντας μάλιστα, οἳ τρόπῳ τῷ εἰρημένῳ μαντεύονται. καὶ λέγουσι οὗτοι ὡς τοεπίπαν μάλιστα τάδε, ὡς τὰς βασιληΐας ἱστίας ἐπιόρκηκε ὃς καὶ ὃς λέγοντες τῶν ἀστῶν τὸν ἂν δὴ λέγωσι· (τὰς δὲ βασιληΐας ἱστίας νόμος Σκύθῃσι ταμάλιστά ἐστι ὀμνύναι τότε ἐπεὰν τὸν μέγιστον ὅρκον ἐθέλωσι ὀμνύναι) αὐτίκα δὲ διαλελαμμένος ἄγεται οὗτος τὸν ἂν δὴ φῶσι ἐπιορκῆσαι. ἀπιγμένον δὲ ἐλέγχουσι οἱ μάντιες ὡς ἐπιορκήσας φαίνεται ἐν τῇ μαντικῇ τὰς βασιληΐας ἱστίας, καὶ διὰ ταῦτα ἀλγέει ὁ βασιλεύς. ὁ δὲ ἀρνέεται, οὐ φάμενος ἐπιορκῆσαι, καὶ δεινολογέεται. ἀρνεομένου δὲ τούτου, ὁ βασιλεὺς

[a] μέν τοι ἡ μαντικὴ πατρωΐη σφι ἐστί. [b] τρίχα MS.

μεταπέμπεται ἄλλους διπλησίους μάντιας· καὶ ἢν μὲν καὶ οὗτοι ἐσορέωντες ἐς τὴν μαντικὴν, καταδήσωσι ἐπιορκῆσαι, τοῦδε ἰθέως τὴν κεφαλὴν ἀποτάμνουσι, καὶ τὰ χρήματα αὐτοῦ διαλαγχάνουσι οἱ πρῶτοι τῶν μαντίων· καὶ ἢν δὲ [c] οἱ ἐπελθόντες μάντιες ἀπολύσωσι, ἄλλοι πάρεισι μάντιες, καὶ μάλα ἄλλοι. ἢν ὦν οἱ πλεῦνες τὸν ἄνθρωπον ἀπολύσωσι, δέδοκται τοῖσι πρώτοισι τῶν μαντίων αὐτοῖσι ἀπόλλυσθαι.

ξθʹ. Ἀπολλῦσι δῆτα αὐτοὺς [d] τρόπῳ τοιῷδε· ἐπεὰν ἅμαξαν καμάρης [e] φρυγάνων πλήσωσι, καὶ ὑποζεύξωσι βοῦς, ἐμπεδήσαντες τοὺς μάντιας, καὶ χέρας ὀπίσω δήσαντες, καὶ στομώσαντες, κατειργνῦσι ἐς μέσα τὰ φρύγανα. ὑποπρήσαντες δὲ αὐτὰ, ἀπιεῖσι φοβήσαντες τὰς βοῦς. πολλοὶ μὲν δὴ συγκατακαίονται τοῖσι μάντισι βόες, πολλοὶ δὲ περικεκαυμένοι ἀποφεύγουσι, ἐπεὰν αὐτέων ὁ ῥυμὸς καταϰαυθῇ. κατακαίουσι δὲ τρόπῳ τῷ εἰρημένῳ καὶ δι' ἄλλας αἰτίας

[c] μαντίων· ἢν δέ. [d] ἀπολλῦσι δὲ αὐτούς. [e] vox καμάρης ignoratur in MS.

ſe dicens non pejeraſſe, atque indignatur, rex duplum numerum vaticinorum arceſſit: qui inſpecta divinandi ratione, ſi et ipſi hominem perjurii convicerint, ſine mora caput abcidunt; ejuſque facultates inter ſe partiuntur primi vaticini. Sin vero illi qui ſupervenerunt vaticini homines abſolverint, alii atque alii praeſto ſunt: quorum ſi plures abſolverint, decretum eſt primis illis vaticinis eſſe pereundum.

69. Eoſque hunc in modum necant. Plauſtrum concamaratum ubi ſarmentis referſerunt, bobuſque junxerunt, vaticinos pedibus implicatis, et manibus poſt tergum revinctis, atque ore obſtructo, inſulciunt in medium ſarmentorum; incenſiſque illis territando agitant boves. quorum boum multi cum vaticinis concremantur, multi ambuſti, cremato illorum temone, aufugiunt. Hoc quem dixi modo comburunt vaticinos, etiam ob alias

caussas, appellantque falsos vates.

70. Sed quos morte rex afficit, eorum nec liberos linquit, sed universos mares interficit, feminis nihil laesis. Foedera cum quibuscunque ineunt Scythae, hoc modo ineunt: Infuso in grandem calicem fictilem vino, commiscent eorum sanguinem qui feriunt foedus, percutientes cultello aut incidentes gladio paululum corporis. deinde in calice tingunt acinacem, sagittas, securim, jaculum. Haec ubi fecerunt, multa apprecantur: postea vinum epotant non modo ii qui foedus faciunt, sed etiam comitum ii qui sunt maximae dignitatis.

71. Regum autem sepulchra in Gerrhis sunt. Ubi Borysthenes jam navigabilis est, ibi, quum rex eis decessit, ingentem in terra scrobem fodiunt forma quadrata. hoc ubi praepararunt, suscipiunt cadaver, corpore incerato, alvo discissa at-

τοὺς μάντιας, ψευδομάντιας καλέοντες.

ο΄. Τοὺς δ᾽ ἂν ἀποκλείνῃ[f] βασιλεὺς, τουτέων οὐδὲ τοὺς παῖδας λείπει, ἀλλὰ πάντα τὰ ἔρσενα κλείνει, τὰ δὲ θήλεα οὐκ ἀδικέει. ὅρκια δὲ ποιεῦνται Σκύθαι ὧδε, πρὸς τοὺς ἂν ποιέωνται· ἐς κύλικα μεγάλην κεραμίνην οἶνον ἐγχέαντες, αἷμα συμμίσγουσι τῶν τὰ ὅρκια ταμνομένων, τύψαντες ὑπέατι ἢ ἐπιταμόντες μαχαίρῃ σμικρὸν τοῦ σώματος· καὶ ἔπειτα ἀποβάψαντες ἐς τὴν κύλικα ἀκινάκεα, καὶ ὀϊστοὺς, καὶ σάγαριν, καὶ ἀκόντιον· ἐπεὰν δὲ ταῦτα ποιήσωσι, κατεύχονται πολλὰ, καὶ ἔπειτα ἀποπίνουσι αὐτοί τε οἱ τὸ ὅρκιον ποιεύμενοι, καὶ τῶν ἑπομένων οἱ πλεῖστου ἄξιοι.

οα΄. Ταφαὶ δὲ τῶν βασιλήων ἐν Γέῤῥοισι εἰσί. ἐς ἃ ὁ Βορυσθένης ἐστὶ προσπλωτὸς, ἐνθαῦτα ἐπεάν σφι ἀποθάνῃ ὁ βασιλεὺς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγωνον. ἑτοῖμον δὲ τοῦτο ποιήσαντες, ἀναλαμβάνουσι τὸν νεκρὸν, κατακεκηρωμέ-

[f] ἀποκλέωσι.

νον μὲν τὸ σῶμα· τὴν δὲ νηδὺν ἀνασχισθεῖσαν, καὶ καθαρθεῖσαν, πλέην κυπέρου κεκομμένου, καὶ θυμιήματος, καὶ σελίνου σπέρματος, καὶ ἀνήσου, συνεῤῥαμμένην ὀπίσω, καὶ κομίζουσι ἐν ἁμάξῃ ἐς ἄλλο ἔθνος. οἳ δὴ ἂν παραδέξωνται κομισθέντα τὸν νεκρὸν, ποιεῦσι τάπερ οἱ βασιλήϊοι Σκύθαι· τοῦ ὠτὸς ἀποτάμνονται, τρίχας περικείρονται, βραχίονας περιτάμνονται [a], μέτωπον καὶ ῥῖνα καταμύσσονται, διὰ τῆς τε ἀριστερῆς χερὸς ὀϊστοὺς διαβυνέονται. ἐνθεῦτεν δὲ κομίζουσι ἐν ἁμάξῃ τὸν νέκυν τοῦ βασιλέος ἐς ἄλλο ἔθνος τῶν ἄρχουσι. οἱ δέ σφι ἕπονται, ἐς τοὺς πρότερον ἦλθον. ἐπεὰν δὲ πάντας περιέλθωσι τὸν νέκυν κομίζοντες, ἐν Γέῤῥοισι ἔσχατα κατοικημένοισι εἰσὶ τῶν ἐθνέων τῶν ἄρχουσι, καὶ ἐν τῇσι ταφῇσι. καὶ ἔπειτα ἐπεὰν θέωσι τὸν νέκυν ἐν τῇσι θήκῃσι ἐπὶ στιβάδος, παραπήξαντες αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ, ξύλα ὑπερτείνουσι, καὶ ἔπειτα ῥιπὶ καταστεγάζουσι. ἐν δὲ τῇ λοιπῇ εὐρυχωρίῃ τῆς

a Haec quatuor verba τρίχας περικείρονται, βραχίονας περιτάμνονται non ſunt in MS.

que expurgata, quam ſilere contuſo et thymiamate apiique ſemine et aniſi quum expleverunt, conſuunt rurſus, et in plauſtro ad aliam gentem ferunt. Qui vero delatum cadaver excipiunt, eadem agunt quae regii Scythae: auris aliquid decidunt, crinem circumtondent, brachia circumcidunt, frontem naſumque conſauciant, ſiniſtram manum ſagittis trajiciunt. Poſtmodum regis cadaver in plauſtro ferunt ad aliam gentem cui imperitant, quae ipſos comitatur ad eos unde primum venerant. Ubi jam mortuum ferentes, luſtraverunt univerſas gentes, in Gerrhis extrema habitantibus ſunt gentium, quibus imperant, et in his ſepulchris. Quem poſtquam in loculis poſuerunt ſuper torum, mucronibus hinc atque hinc defixis, deſuper ligna extendunt, ac deinde ſalignis ramis contegunt. In reliqua loculi ſpatioſitate aliquam ejus pallacam ſtrangula-

tam ſepeliunt, et pincernam, et cocum, et equiſonem, et miniſtrum, et internuncium, nec non equos et aliarum rerum omnium primitias, quinetiam phialas aureas. nam argentum aut aes in uſu non habent. His actis, humum certatim atque avide injiciunt, cupientes tumulum quam maximum efficere.

72. Circumacto anno, rurſus hoc agunt: E famulis reliquis aptiſſimos ſumunt. ſunt autem hi ingenui Scythae; illi enim ſerviunt, quos ipſe rex juſſerit. nam pecunia emptos ſervos non habent. Horum miniſtrorum quinquaginta quum ſtrangulaverunt ac totidem praeſtantiſſimos equos, alvo eorum exempta et expurgata, paleis implent, ac conſuunt: et ubi dimidium fornicis ſuper duo ligna, dimidium ſupinum ſtatuentes, alterumque dimidium fornicis ſuper altera duo ligna,

θήκης, τῶν παλλακέων τε μίην ἀποπνίξαντες θάπτουσι, καὶ τὸν οἰνοχόον, καὶ μάγειρον, καὶ ἱπποκόμον, καὶ διηκόνον, καὶ ἀγγελιηφόρον, καὶ ἵππους, καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχὰς, καὶ φιάλας χρυσέας. ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέωνται. ταῦτα δὲ ποιήσαντες, χοῦσι πάντες χῶμα μέγα, ἁμιλλώμενοι, καὶ προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι.

οβʹ. Ενιαυτοῦ δὲ περιφερομένου, αὖτις ποιεῦσι τοιόνδε. λαβόντες τῶν λοιπῶν θεραπόντων τοὺς ἐπιτηδεωτάτους· οἵδέ εἰσι Σκύθαι ἐγγενέες· οὗτοι γάρ εἰσι θεραπεύοντες τοὺς ἂν αὐτὸς ὁ βασιλεὺς κελεύσῃ, ἀργυρώνητοι δὲ οὐκ εἰσί σφι θεράποντες· τουτέων ὦν τῶν διηκόνων ἐπεὰν ἀποπνίξωσι πεντήκοντα, καὶ ἵππους τοὺς καλλίστους πεντήκοντα, ἐξελόντες αὐτέων τὴν κοιλίην, καὶ καθήραντες, ἐμπιπλᾶσι ἀχύρων, καὶ συρράπτουσι. ἀψῖδος δὲ ἥμισυ ἐπὶ ξύλα δύο, ἥμισυ στήσαντες ὕπτιον, καὶ τὸ ἕτερον ἥμισυ τῆς ἀψῖδος ἐπ' ἕτερα δύο καταπήξαντες

τρόπῳ τοιούτῳ, πολλὰ ταῦτα ἔπειτα τῶν ἵππων καταμήκεα ξύλα παχέα διελάσαντες μέχρι τῶν τραχήλων, ἀναβιβάζονται [b] αὐτοὺς ἐπὶ τὰς ἁψῖδας. τῶν δὲ, αἱ μὲν πρότεραι ἁψῖδες ὑπέχουσι [c] τοὺς ὤμους τῶν ἵππων· αἱ δὲ, ὄπισθεν παρὰ τοὺς μηροὺς, τὰς γαστέρας ὑπολαμβάνουσι· σκέλεα δὲ ἀμφότερα κατακρέμαται μετέωρα. χαλινοὺς δὲ καὶ στόμια ἐμβαλόντες ἐς τοὺς ἵππους, κατατείνουσι ἐς τὸ πρόσθεν αὐτέων, καὶ ἔπειτα ἐκ πασσάλων δέουσι. τῶν δὲ δὴ νεηνίσκων τῶν ἀποπεπνιγμένων τῶν πεντήκοντα ἕνα ἕκαστον ἀναβιβάζουσι ἐπὶ τὸν ἵππον [d], ὧδε ἀναβιβάζοντες· ἐπεὰν νεκροῦ ἑκάστου παρὰ τὴν ἄκανθαν ξύλον ὀρθὸν διελάσωσι μέχρι τοῦ τραχήλου, κάτωθεν δὲ ὑπερέχει τοῦ ξύλου τούτου, τὸ ἐς τόρμον πηγνύουσι τοῦ ἑτέρου ξύλου τοῦ διὰ τοῦ ἵππου. ἐπιστήσαντες δὲ κύκλῳ τὸ σῆμα ἱππέας τοιούτους ἀπελαύνουσι.

ογ'. Οὕτω μὲν τοὺς βασιλῆας θάπτουσι.

[b] ἀναβιβάζουσι. [c] MS. ὑπερέχουσι. [d] ἐπ' ἵππον.

tali modo defixerint, multa illa tum oblonga ligna crassa per equos ad cervicem usque quum trajecerunt, attollunt eos supra fornices, quorum priores fornices sustinent armos equorum, posteriores vero juxta femora suscipiunt ventres, utrisque cruribus superne dependentibus. Equos autem infrenant, eorumque habenas anteriora extendunt, et mox ad palos alligant: dehinc super eorum singulos statuunt singulos quinquaginta juvenum strangulatorum hunc in modum. Unicuique eorum rectum stipitem praeter spinam ad cervicem usque transfigunt: quod inferius extat aliquid stipitis, id infigunt foramini ligni alterius quo equus trajectus est. His equitibus sepulchro circumpositis abeunt.

73. Hunc in modum reges sepeliunt.

Alios autem Scythas, quum decesserunt, proximi quique in plaustris collocatos ad amicos circumferunt. eos singuli amicorum excipientes, epulum comitantibus praebent; sed et cadaveri similiter ex omnibus apponit, quae caeteris. Ad hunc modum quadraginta diebus privati homines circumaguntur: dehinc humantur. Scythae autem qui sepeliverunt tali modo purgantur. Ubi caput terserunt ablueruntque, circa corpus ita agunt. Tria ligna statuunt mutuo inclinata, circa haec praetendunt lanea pilea, quam maxime constipantes, et in alveum in medio lignorum pileorumque positum lapides conjiciunt ex igne perlucidos.

74. Nascitur autem apud eos cannabis lino simillima, praeterquam crassitudine ac magnitudine: sed multo ista cannabis est praestantior, vel sua sponte nascens, vel sata: ex qua Thraces quidem

τὰς δὲ ἄλλους Σκύθας, ἐπεὰν ἀποθάνωσι, περιάγουσι οἱ ἀγχοτάτω προσήκοντες κατὰ τοὺς φίλους ἐν ἁμάξῃ [a] κειμένους. τῶν δὲ ἕκαστος ὑποδεκόμενος εὐωχέει τοὺς ἑπομένους, καὶ τῷ νεκρῷ ἁπάντων παραπλησίως παρατίθησι ὅσα τοῖσι ἄλλοισι. ἡμέρας δὲ τεσσεράκοντα οὕτω οἱ ἰδιῶται περιάγονται, ἔπειτα θάπτονται. θάψαντες δὲ οἱ Σκύθαι, καθαίρονται τρόπῳ τοιῷδε· σμησάμενοι τὰς κεφαλὰς καὶ ἐκπλυνάμενοι, ποιεῦσι περὶ τὸ σῶμα τάδε· ἐπεὰν ξύλα στήσωσι τρία ἐς ἄλληλα κεκλιμένα, περὶ ταῦτα πίλους εἰρινέους περιτείνουσι· συμφράξαντες δὲ ὡς μάλιστα, λίθους ἐκ πυρὸς διαφανέας ἐσβάλλουσι ἐς σκάφην κειμένην ἐν μέσῳ τῶν ξύλων τε καὶ τῶν πίλων.

οδ'. Ἔστι δέ σφι κάνναβις φυομένη ἐν τῇ χώρῃ, πλὴν παχύτητος καὶ μεγάθεος, τῷ λίνῳ ἐμφερεστάτη. ταύτῃ δὲ πολλῷ ὑπερφέρει ἡ κάνναβις αὕτη· καὶ αὐτομάτη καὶ σπειρομένη φύεται· καὶ ἐξ αὐτῆς Θρήϊκες

[a] ἁμάξῃσι.

μὲν κ̀ εἵμαλα ποιεῦνλαι τοῖσι λινέοισι ὁμοιόταλα· ὐδ᾽ ἂν, ὅςις μὴ κάρτα τρίβων εἴη αὐτῆς, διαγνοίη λίνου ἢ καννάβιός ἐςι· ὃς δὲ μὴ εἶδέ κω τὴν καννάβιδα, λίνεον δοκήσει εἶναι τὸ εἷμα.

οε΄. Ταύτης ὦν οἱ Σκύθαι τῆς καννάβιος τὸ σπέρμα ἐπεὰν λάβωσι, ὑποδύνυσι ὑπὸ τὺς πίλυς, καὶ ἔπειλα ἐπιβάλλυσι [b] τὸ σπέρμα ἐπὶ τοὺς διαφανέας λίθους τῷ πυρί. τὸ δὲ θυμιῆσαι ἐπιβαλλόμενον, κ̀ ἀτμίδα παρέχελαι τοσαύτην, ὥςε Ἑλληνικὴ ὐδεμίη ἂν μιν πυρίη ἀποκρατήσειε· οἱ δὲ Σκύθαι ἀγάμενοι τῇ πυρίῃ ὠρύονται. τῦτό σφι ἀντὶ λυτρῦ ἐςί. ὐ γὰρ δὴ λῦνται ὕδαλι τοπαράπαν τὸ σῶμα. αἱ δὲ γυναῖκες αὐτέων ὕδωρ παραχέουσαι, κατασώχυσι περὶ λίθον τρηχὺν τῆς κυπαρίσσυ, κ̀ κέδρυ, κ̀ λιβάνυ ξύλυ· κ̀ ἔπειλα τὸ κατασωχόμενον τῦτο, παχὺ ἐὸν, κ̀ καταπλάσσονται [c] πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον· κ̀ ἅμα μὲν εὐωδίη σφέας ἀπὸ

[b] ὑποβάλλυσι. [c] ἰὸν, καλαπάσσονλαι.

etiam veſtimenta conficiunt lineis ſimillima: neque ſane niſi quis admodum peritus ſit ejus, linea ſint an cannabina, queat dignoſcere: et qui non viderit cannabem exiſtimabit lineum eſſe veſtimentum.

75. Hujus ergo cannabis ſemen ubi acceperint Scythae ſub pileis ſuccedunt, ac deinde id ſupra lapides igne perlucidos jaciunt. Id vero aggrediens ſuffire etiam vaporem reddit tantum, ut Graecum nullum thuribulum eum ſuperet. Hoc odore gaudentes Scythae fremunt; quod apud ipſos loco lavacri eſt. neque enim aqua lavant omnino corpus, ſed uxores eorum adfundentes aquam, ad lapidem ſcabrum conterunt cypreſſi et cedri et thuris ligni aliquid: deinde iſtud detritum, quod eſt craſſum, etiam oblinunt toto corpore et facie. Id eas ſimul bene

olentes facit, simul postero die, auferentes illud oblitum, mundas ac splendidas.

76. Externis vero et hi ritibus uti magnopere cavent, ne quidem mutuis inter se: sed Graecorum etiam minime, ut ostendit Anacharsis, et deinde iterum Scyles. Siquidem Anacharsis quum multum orbis terrarum contemplatus esset, et magnam sapientiam inde confecisset, ad sedes Scytharum proficiscebatur. Is quum per Hellespontum navigans tenuisset Cyzicum, vovit Matri deorum, (offendit enim Cyzicenos ei diem festum magnifico sane apparatu celebrantes) si salvus sospesque domum revertisset, sacrificaturum se eodem ritu quo Cyzicenos sacrificantes vidisset, et pervigilium instituturum. Quum igitur in Scythiam venisset, ingressus regionem quae dicitur Hylaea, eaque est juxta Achillis Dromon sita, ubique om-

τύτυ ἔχει, ἅμα δὲ ἀπαιρέυσαι τῇ δευτέρῃ ἡμέρῃ τὴν καταπλαςὺν [d], γίνονται καθαραὶ ϗ λαμπραί.

ος΄. Ξεινικοῖσι δὲ νομαίοισι ϗ ὗτοι αἰνῶς χρᾶσθαι φεύγουσι, μήτοι γε ὧν ἀλλήλων, Ἑλληνικοῖσι δὲ καὶ ἥκιςα [e], ὡς διέδεξαν Ανάχαρσίς τε καὶ δεύτερα αὗτις Σκύλης. τοῦτο μὲν γὰρ Ανάχαρσις, ἐπεί τε γῆν πολλὴν θεωρήσας, καὶ ἀποδεξάμενος κατ᾽ αὐτὴν σοφίην πολλὴν, ἐκομίζετο ἐς ἤθεα τὰ Σκυθέων· πλέων δὲ δἰ Ἑλλησπόντου [f], προσίσχει ἐς Κύζικον· καὶ εὗρε γὰρ τῇ Μητρὶ τῶν θεῶν ἀνάγοντας τοὺς Κυζικηνὺς ὁρτὴν μεγαλοπρεπέα κάρτα, εὔξατο τῇ Μητρὶ ὁ Ανάχαρσις, ἢν σῶς καὶ ὑγιὴς ἀπονοςήσῃ ἐς ἑωϋτοῦ, θύσειν τε κατὰ ταυτὰ κατὰ ὥρα τὺς Κυζικηνὺς ποιεῦντας, καὶ παννυχίδα ςήσειν. ὡς δὲ ἀπίκετο ἐς τὴν Σκυθικὴν, καταδὺς ἐς τὴν καλεομένην Ὑλαίην· ἡ δ᾽ ἔςι μὲν παρὰ τὸν Αχιλλήϊον Δρόμον,

[d] καταπλαςὴν. [e] δὲ ἥκιςα. [f] πλέων δὲ Ἑλλησπόντυ.

τυγχάνει δὲ πᾶσα ἐοῦσα δενδρέων παντοίων πλέη· ἐς ταύτην δὴ καταδὺς ὁ Ἀνάχαρσις, τὴν ὁρτὴν πᾶσαν ἐπετέλεε τῇ θεῷ, τύμπανόν τε ἔχων, καὶ ἐκδησάμενος ἀγάλματα. καί τις τῶν Σκυθέων καταφρασθεὶς αὐτὸν ταῦτα ποιεῦντα, ἐσήμηνε τῷ βασιλέϊ Σαυλίῳ· ὁ δὲ, καὶ αὐτὸς ἀπικόμενος, ὡς εἶδε τὸν Ἀνάχαρσιν ποιεῦντα ταῦτα, τοξεύσας αὐτὸν ἀπέκτεινε. καὶ νῦν ἤν τις εἴρηται περὶ Ἀναχάρσιος, οὔ φασί μιν Σκύθαι γινώσκειν, διὰ τοῦτο ὅτι ἐξεδήμησέ τε ἐς τὴν Ἑλλάδα, καὶ ξεινικοῖσι ἔθεσι διεχρήσατο. ὡς δ' ἐγὼ ἤκουσα Τίμνεω τοῦ Ἀριαπείθεος [a] ἐπιτρόπου, εἶναι αὐτὸν Ἰδανθύρσου [b] τοῦ Σκυθέων βασιλέος πάτρων, παῖδα δὲ εἶναι Γνούρου τοῦ Λύκου τοῦ Σπαργαπίθεος. εἰ ὦν ταύτης ἦν τῆς οἰκίης Ἀνάχαρσις, ἴστω ὑπὸ τοῦ ἀδελφεοῦ ἀποθανών. Ἰδάνθυρσος γὰρ ἦν παῖς Σαυλίου, Σαύλιος δὲ ἦν ὁ ἀποκτείνας Ἀνάχαρσιν.

οζ. Καί τοι τινὰ ἤδη ἤκουσα λόγον ἄλ-

[a] Σπαργαπείθεος. [b] Ἰδανθύρσου.

nigenis arboribus referta. In hanc ingressus Anacharsis, omnem festi ceremoniam deae persolvit, tympanum tenens, alligatisque simulacris. Haec eum agentem quidam Scytha animadvertens, indicium detulit Saulio regi. Rex quum et ipse contulisset se eo, et Anacharsin ea facientem inspexisset, excussa sagitta necavit. Et nunc si quis de Anacharsi interroget, Scythae negant se novisse hominem, ob id quod in Graeciam peregrinatus externosque sit mores sectatus. Sicut autem ego accepi ex Timne tutore Spargapithis, esse eum patruum Idanthyrsi Scytharum regis, filium Gnuri, nepotem Lyci, pronepotem Spargapithis. Itaque si ex hac familia extitit Anacharsis, sciat se ab fratre fuisse interemptum. Idanthyrsus enim fuit filius Saulii, Saulius autem fuit qui Anacharsin interemit.

77. Quanquam et aliud quiddam Pe-

loponnenſes audivi referentes, Anacharſin a rege Scytharum miſſum, Graeciae fuiſſe diſcipulum, et quum rediſſet, dixiſſe ei qui ipſum miſerat, cunctos Graecos eſſe in omni ſapientia occupatos, Lacedaemoniis exceptis, quibus ſolis datum eſſet prudenter dare et accipere rationem. Verum haec narratio temere ab ipſis Graecis ficta eſt. Hic igitur vir, quemadmodum antea dictum eſt, trucidatus fuit, et tale aliquod fatum propter externos ritus et Graecas conſuetudines conſequutus.

78. Multis autem ſane annis poſtea interjectis ſimilia excepit Scyles, Aripithis filius. etenim Aripithes Scytharum rex, cum alios filios multos ſuſtulit, tum Scylem ex uxore Iſtrina, haudquaquam cive, quae filium Graecam linguam litteraſque edocuit. Interjecto deinde tempore, Aripithe per dolum occiſo a Sparga-

λον ὑπὸ Πελοποννησίων λεγόμενον, ὡς ὑπὸ τῶν [c] Σκυθέων βασιλέος Ανάχαρσις ἀπομεμφθεὶς, τῆς Ἑλλάδος μαθητὴς γένοιτο· ὀπίσω τε ἀπονοστήσας, φαίη πρὸς τὸν ἀποπέμψαντα, Ἕλληνας πάντας ἀσχόλους εἶναι ἐς [d] πασᾶν σοφίην, πλὴν Λακεδαιμονίων· τούτοισι δὲ εἶναι μούνοισι σωφρόνως δοῦναί τε καὶ δέξασθαι λόγον. ἀλλ' οὗτος μὲν ὁ λόγος ἄλλως πέπλασται ὑπ' αὐτῶν [e] Ἑλλήνων. ὅδ' ὦν ἀνὴρ, ὥσπερ πρότερον εἰρέθη, διεφθάρη. οὗτος μέν νυν οὕτω δὴ ἔπρηξε [f] διὰ ξεινικά τε νόμαια καὶ Ἑλληνικὰς ὁμιλίας.

οη'. Πολλοῖσι δὲ κάρτα ἔτεσι ὕστερον Σκύλης ὁ Αριπείθεος [g] ἔπαθε παραπλήσια τούτῳ. Αριπείθεϊ γὰρ τῷ Σκυθέων βασιλέϊ γίνεται μετ' ἄλλων παίδων Σκύλης. ἐξ Ιστρινῆς δὲ γυναικὸς οὗτος γίνεται, καὶ οὐδαμῶς ἐγχωρίης· τὸν ἡ μήτηρ αὕτη γλῶσσάν τε Ἑλλάδα καὶ γράμματα ἐδίδαξε. μετὰ δὲ, χρόνῳ ὕστερον, Αριπείθης

[c] τοῦ [d] πρός. [e] ὑπὸ τῶν. [f] δή τι ἔπρηξε. [g] Αριαπείθεας semper MS.

μὲν τελευτᾷ δόλῳ ὑπὸ Σπαργαπείθεος τῦ Αγαθύρσων βασιλῆος· Σκύλης δὲ τήν τε βασιληΐην παρέλαβε, καὶ τὴν γυναῖκα τῦ πατρὸς, τῇ ὔνομα ἦν Οποίη. ἦν δὲ αὕτη ἡ Οποίη ἀςὴ ἐξ ἧς ἦν Ορικος Αριπείθεϊ παῖς. βασιλεύων δὲ Σκυθέων ὁ Σκύλης, διαίτῃ μὲν ὐδαμῶς ἠρέσκετο Σκυθικῇ, ἀλλὰ πολλὸν πρὸς τὰ Ἑλληνικὰ μᾶλλον τετραμμένος ἦν ἀπὸ παιδεύσιος τῆς ἐπεπαίδευτο. ἐποίεέ τε τοιῦτο· εὖτε ἀγάγοι τὴν ςρατιὴν τῶν Σκυθέων ἐς τὸ Βορυσθενεϊτέων ἄςυ· (οἱ δὲ Βορυσθενεῖται ὔται λέγυσι σφέας αὐτὺς εἶναι Μιλησίους) ἐς τύτυς ὅκως ἔλθοι ὁ Σκύλης, τὴν μὲν ςρατιὴν κατελίπεσκε ἐν τῷ προαςείῳ, αὐτὸς δὲ ὅκως ἔλθοι ἐς τὸ τεῖχος, κὴ τὰς πύλας ἐγκληΐσειε, τὴν ςολὴν ἀποθέμενος τὴν Σκυθικὴν, λάβεσκε ἂν Ἑλληνίδα ἐσθῆτα· ἔχων δ᾽ ἂν ταύτην, ἠγόραζε, οὔτε δορυφόρων ἑπομένων, ὔτε ἄλλυ ὐδενός. τὰς δὲ πύλας ἐφύλασσον, μή τίς μιν Σκυθέων ἴδοι

pithe Agathyrſorum rege, Scyles regnum ſuſcepit, et uxorem patris, nomine Opoeam. Erat autem Opoea haec civis, ex qua erat Aripithi filius Oricus. Scyli regnum Scytharum obtinenti Scythicus tamen vivendi mos nihil prorſus cordi erat, ſed multo magis convertebatur ad Graeca, in quibus fuerat imbutus a puero; et tale quid fecit. Utique quum ad urbem Boryſthenitarum Scythicum ducebat exercitum, (Boryſthenitae autem ſe a Mileſiis ajunt eſſe oriundos.) ad hos quoties Scyles veniebat, relicto in ſuburbanis exercitu, ipſe muros ingreſſus portas obſerabat; depoſita Scythica veſte, Graecum ſumebat veſtimentum, et eo indutus, in foro ſpatiabatur, nullo neque ſatellitum neque alio comitatu; ſed portas ſervabant, ne quis Scytharum cerneret eum geſtantem hujuſmodi veſtimentum: et cum in cete-

ris Graecorum diſciplina utebatur, tum ſacra diis faciebat ritu Graeco. Et quum ibi tempus menſtruum aut amplius triverat, abſcedebat, induta ſibi Scythica veſte. Idque ſaepenumero faciebat, exſtructis ſibi aedibus in Boryſthenide, et uxore illinc accepta.

79. Sed quum deberet ei male cedere, ex hac occaſione evenit. Affectabat Baccho per Bacchanal initiari, ac initiationem jam ſumpturo in manibus, oblatum eſt ingens oſtentum. Erant ei in urbe Boryſthenitarum circum aedes (quarum etiam paulo ante habui mentionem) magnas atque magnificas ſpatii laxitas, circaque eam e lapide candido ſphinges et grypes ſtantes. in has aedes deus fulmen jaculatus eſt, totaeque deflagraverunt. Scyles nihilominus propterea initiationem peragit. Enimvero Scythae Graecis probro dant bacchari, ne-

ἔχοντα ταύτην τὴν στολήν. καὶ τἄλλα ἐχρᾶτο διαίτῃ Ἑλληνικῇ, καὶ θεοῖσι ἱρὰ ἐποίεε κατὰ νόμους τοὺς Ἑλλήνων. ὅτε δὲ διατρίψειε μῆνα ἢ πλέον τούτου, ἀπαλλάσσετο, ἐνδὺς τὴν Σκυθικὴν στολήν. ταῦτα ποιέεσκε πολλάκις· καὶ οἰκία [a] τε ἐδείματο ἐν Βορυσθένεϊ, καὶ γυναῖκα ἔγημε ἐς αὐτὰ ἐπιχωρίην.

οθ΄. Ἐπεί τε δὲ ἔδεέ οἱ κακῶς γενέσθαι, ἐγένετο ἀπὸ προφάσιος τοιῆσδε· ἐπεθύμησε Διονύσῳ Βακχείῳ τελεσθῆναι· μέλλοντι δέ οἱ ἐς χεῖρας ἄγεσθαι τὴν τελετὴν, ἐγένετο φάσμα μέγιστον. ἦν οἱ ἐν Βορυσθενεϊτέων τῇ πόλι, οἰκίης μεγάλης καὶ πολυτελέος περιβολὴ, (τῆς καὶ ὀλίγῳ τὶ πρότερον τουτέων μνήμην εἶχον) τήν τε πέριξ [b] λευκοῦ λίθου σφίγγες τε καὶ γρύπες ἕστασαν. ἐς ταύτην ὁ θεὸς ἐνέσκηψε βέλος· καὶ ἡ μὲν κατεκάη πᾶσα. Σκύλης δὲ οὐδὲν τούτου [c] εἵνεκα ἧσσον ἐπετέλεσε τὴν τελετήν. Σκύθαι δὲ τοῦ βακχεύειν πέρι Ἕλλησι ὀνειδί-

[a] πολλάκις. οἰκία, [b] τὴν πέριξ. [c] τουτέων.

ζουσι. οὐ γάρ φασι εἰκὸς εἶναι θεὸν ἐξευρίσκειν τοῦτον ὅστις μαίνεσθαι ἐνάγει ἀνθρώπους. ἐπεί τε δὲ ἐτελέσθη τῷ βακχείῳ ὁ Σκύλης, ἐπρήστευσε [d] τῶν τις Βορυσθενεΐτέων πρὸς τοὺς Σκύθας, λέγων, ‘ Ἡμῖν ‘ γὰρ [e] καταγελᾶτε, ὦ Σκύθαι, ὅτι βακ- ‘ χεύομεν, καὶ ἡμέας ὁ θεὸς λαμβάνει· νῦν ‘ οὗτος ὁ δαίμων καὶ τὸν ὑμέτερον βασιλέα ‘ λελάβηκε, καὶ βακχεύει τε, καὶ [f] ὑπὸ τοῦ ‘ θεοῦ μαίνεται. εἰ δέ μοι ἀπιστέετε, ἕπε- ‘ σθε, καὶ ὑμῖν ἐγὼ δείξω.’ εἵποντο τῶν Σκυθέων οἱ προεστεῶτες· καὶ αὐτοὺς ἀναγαγὼν ὁ Βορυσθενεΐτης, λάθρη ἐπὶ πύργον κάτισε [g]. ἐπεί τε δὲ παρήιε σὺν τῷ θιάσῳ ὁ Σκύλης, καὶ εἶδόν μιν βακχεύοντα οἱ Σκύθαι, κάρτα συμφορὴν μεγάλην ἐποιήσαντο. ἐξελθόντες δὲ ἐσήμαινον πάσῃ τῇ στρατιῇ τὰ ἴδοιεν.

π΄. Ὡς δὲ μετὰ ταῦτα ἐξήλαυνε ὁ Σκύλης ἐς ἤθεα τὰ ἑωϋτοῦ, οἱ Σκύθαι προστησάμενοι τὸν ἀδελφεὸν αὐτοῦ Οκτα-

[d] διεπρήστευσε. [e] ἡμῖν δὲ. [f] καὶ βακχεύει, καὶ. [g] ἐκάτισε.

gantes esse credibile deum invenisse quo homines ad dementiam adigantur. Postea quam bacchanali initiatus est Scyles, quidam Borysthenitarum Scythis indicium detulit, inquiens, ‘Nos enim irridete Scythae quod Bacchanalia agamus, ‘quodque nos deus corripiat; at nunc ‘daemon hic vestrum quoque regem in-‘sedit. nam bacchatur et a deo insanit. ‘Quod si mihi non habetis fidem, sequi-‘mini me rem vobis ostensurum.’ Primores Scytharum sequuti sunt: quos Borysthenita ille deductos clanculum in turri collocavit. Ubi adfuit Scyles cum thiaso, Scythae eum bacchabundum conspicati, rem ingentis calamitatis esse duxerunt: digressique, ea quae viderant omni exercitui indicarunt.

80. Post haec ubi ad lares suos redibat Scyles, praeposito fratre ejus Octa-

masade, ex filia Terei genito, insurrexerunt contra Scylen. Scyles cognito quid de se fieret, et quam ob caussam, profugit in Thraciam. Id quum audisset Octamasades, cum exercitu adversus Thraciam contendit: cui ad Istrum progresso Thraces occurrerunt. Et quum conflicturi essent, Sitalces ad Octamasadem misit caduceatorem, cum his mandatis, 'Quid opus est inter nos tentare? Tu 'quidem sororis meae es filius, sed habes 'germanum meum, quem si mihi reddi-'deris, ego vicissim Scylen trado tibi. Ita 'neque tu, neque ego periclitabor exer-'citu.' Per haec verba pacem firmabat Sitalces. Erat enim apud Octamasadem frater Sitalcis profugus. Et Octamasades ista accepit, redditoque Sitalci avunculo suo, Scylen cepit fratrem. Et Sitalces qui-

μασάδην, γεγονότα ἐκ τῆς Τήρεω [a] θυγατρὸς, ἐπανιςαίατο τῷ Σκύλῃ. ὁ δὲ, μαθὼν τὸ γινόμενον ἐπ᾽ ἑωϋτῷ, κ) τὴν αἰτίην δι᾽ ἣν ἐποιέετο, καταφεύγει ἐς τὴν Θρηΐκην. πυθόμενος δὲ ὁ Οκταμασάδης ταῦτα, ἐςρατεύετο ἐπὶ τὴν Θρηΐκην· ἐπεί τε δὲ ἐπὶ τῷ Ιςρῳ ἐγένετο, ἠντίασάν μιν οἱ Θρήϊκες. μελλόντων δὲ αὐτέων συνάψειν [b], ἔπεμψε Σιτάλκης παρὰ τὸν Οκταμασάδην, λέγων τοιάδε, ‘ Τί δεῖ ἡμέας ἀλλή‘λων πειρηθῆναι; εἶς μέν μευ τῆς ἀδελ‘φεῆς παῖς, ἔχεις δέ μευ ἀδελφεόν· σύ τέ ‘ μοι ἀπόδος τοῦτον, καὶ ἐγώ σοι τὸν σὸν ‘ Σκύλην παραδίδωμι. ςρατιῇ δὲ μήτε σὺ ‘ κινδυνεύσῃς, μήτ᾽ ἐγώ.’ ταῦτά οἱ πέμψας ὁ Σιτάλκης ἐπεκηρυκεύετο. ἦν γὰρ παρὰ τῷ Οκταμασάδῃ ἀδελφεὸς Σιτάλκεος πεφευγώς. ὁ δὲ [c] Οκταμασάδης καταινέει ταῦτα. ἐκδιδοὺς [d] δὲ τὸν ἑωϋτοῦ μήτρωα Σιτάλκῃ [e], ἔλαβε τὸν ἀδελφεὸν

[a] Τυρέω. [b] συνάπτειν. [c] πεφευγὼς τῦτον. ὁ δὲ. [d] ἐκδὺς. [e] Σιτάλκην.

Σκύλην. καὶ Σιτάλκης μὲν παραλαβὼν τὸν ἀδελφεὸν, ἀπήγετο. Σκύλεω δὲ Ὀκταμασάδης αὐτοῦ ταύτῃ ἀπέταμε τὴν κεφαλήν. οὕτω μὲν περιστέλλουσι τὰ σφέτερα νόμαια Σκύθαι, τοῖσι δὲ παρακτωμένοισι ξεινικοὺς νόμους τοιαῦτα ἐπιτίμια διδοῦσι.

πα΄. Πλῆθος δὲ τὸ Σκυθέων οὐκ οἷός τε ἐγενόμην ἀτρεκέως πυθέσθαι, ἀλλὰ διαφόρους λόγους περὶ τοῦ ἀριθμοῦ ἤκουον. καὶ γὰρ κάρτα πολλοὺς εἶναί σφεας, καὶ ὀλίγους, ὡς Σκύθας εἶναι. τοσόνδε μέντοι ἀπέφαινόν μοι ἐς ὄψιν· ὡς ἐστι [f] μεταξὺ Βορυσθένεός τε ποταμοῦ καὶ Ὑπάνιος χῶρος· οὔνομα δέ ἐστι οἱ Ἐξαμπαῖος· τοῦ καὶ ὀλίγον τι πρότερον τούτων μνήμην εἶχον, φάμενος ἐν αὐτῷ κρήνην ὕδατος πικροῦ εἶναι, ἀπ' ἧς τὸ ὕδωρ ἀποῤῥέον τὸν Ὕπανιν ἄποτον ποιέειν [g]. ἐν τούτῳ τῷ χώρῳ κέεται χαλκήϊον, μεγάθεϊ καὶ ἑξαπλήσιον [h] τοῦ ἐπὶ τῷ στόματι τοῦ Πόντου κρητῆρος, τὸν Παυσανίης ὁ Κλεομβρότου ἀνέθηκε. ὃς δὲ μὴ

[f] ὄψιν. ἐστι. [g] ποιέει. [h] μεγάθει ἑξαπλάσιον.

dem accepto fratre reduxit exercitum: Octamasades autem eodem die caput Scyli dempsit. Adeo sua instituta Scythae observant: et iis qui externos ritus adsciscunt, tales irrogant poenas.

81. Multitudinem autem Scytharum non potui exacte indagare, quum de ejus numero varia referentes audiam, et permultos illos, et rursus paucos esse utique Scythas. Quantum autem sub aspectum meum venit: Est inter Borysthenen et Hypanin flumina, locus nomine Exampaeus: cujus etiam aliquanto antea habuimus mentionem, quum dicebam fontem in eo esse aquae amarae, Hypanin in quem fluit, impotabilem reddentis. Hoc in loco jacet ahenum sexies tantum quantus crater qui est in ostio Ponti, a Pausania Cleombroti filio dedicatus. Quod si

quis illum non inſpexit, hunc ei in modum declarabo: Sexcentarum eſt amphorarum facile capax iſtud in Scythis ahenum, craſſitudine digitorum ſex. id ajunt indigenae ex aculeis ſagittarum eſſe factum: regem enim ſuum, nomine Ariantan, quum numerum Scytharum ſcire vellet, juſſiſſe ſingulos Scythas conferre ſingulos ſagittarum aculeos, propoſita morte ei qui non ferret. Ita magnam vim collatam eſſe aculeorum: et ex his confectum ahenum illud placuiſſe ei pro monumento relinquere, et in hoc Exampaeo dedicare. Haec de multitudine Scytharum audiebam.

82. Miracula autem haec regio nulla habet, praeter flumina cum multo maxima, tum numero plurima. Si quid tamen praeter flumina et magnitudinem campi exhibetur admiratione dignum, id dice-

εἰδέ κω τοῦτον, ὧδε δηλώσω· ἑξακοσίους ἀμφορέας εὐπετέως χωρέει τὸ ἐν Σκύθησι χαλκήϊον. πάχος δὲ τὸ Σκυθικὸν τοῦτο χαλκήϊόν ἐστι δακτύλων ἕξ. τοῦτο ὦν ἔλεγον οἱ ἐπιχώριοι ἀπὸ ἀρδίων γενέσθαι, βουλόμενον γὰρ τὸν σφέτερον βασιλέα, τῷ οὔνομα εἶναι Ἀριαντὰν, τοῦτον εἰδέναι τὸ πλῆθος τῶν Σκυθέων, κελεύειν μιν πάντας Σκύθας ἄρδιν ἕκαστον μίην ἀπὸ τοῦ ὀϊστοῦ κομίσαι· ὃς δ' ἂν μὴ κομίσῃ, θάνατον ἀπείλεε. κομισθῆναι τε δὴ χρῆμα πολλῶν ἀρδίων, καί οἱ δόξαι ἐξ αὐτέων μνημόσυνον ποιήσας [c] λιπέσθαι. ἐκ τουτέων δή μιν τὸ χαλκήϊον ποιῆσαι τοῦτο, καὶ ἀναθεῖναι ἐς τὸν Ἐξαμπαῖον τοῦτον. ταῦτα δὴ περὶ τοῦ πλήθεος τοῦ Σκυθέων ἤκουον.

πβʹ. Θωϋμάσια δὲ ἡ χώρη αὕτη οὐκ ἔχει, χωρὶς ἢ ὅτι ποταμούς τε πολλῷ μεγίστους, καὶ ἀριθμὸν πλείστους. ὃ δὲ ἀποθωϋμάσαι ἄξιον καὶ πάρεξ [d] τῶν ποταμῶν, καὶ τοῦ μεγάθεος τοῦ πεδίου, παρέχεται, εἰρή-

[c] ποιήσαντα. [d] ἄξιον, πάρεξ.

στέαι. ἴχνος Ἡρακλέος φαίνουσι ἐν πέτρῃ ἐνεόν, τὸ ἔοικε μὲν βήματι ἀνδρὸς, ἔστι δὲ τὸ μέγαθος δίπηχυ, παρὰ τὸν Τύρην ποταμόν. τοῦτο μέν νυν τοιοῦτό ἐστι.

πγ΄. Αναβήσομαι δὲ ἐς τὸν κατ' ἀρχὰς ἤια λέξων λόγον. παρασκευαζομένου Δαρείου ἐπὶ τοὺς Σκύθας, καὶ ἐπιπέμποντος ἀγγέλους ἐπιτάξοντας τοῖσι μὲν πεζὸν στρατὸν, τοῖσι δὲ νέας παρέχειν, τοῖσι δὲ ζεύγνυσθαι τὸν Θρηΐκιον Βόσπορον· Αρτάβανος ὁ Ὑστάσπεος, ἀδελφεὸς ἐὼν Δαρείου, ἐχρῆζε μηδαμῶς αὐτὸν στρατιὴν ἐπὶ Σκύθας ποιέεσθαι, καταλέγων τῶν Σκυθέων τὴν ἀπορίην. ἀλλ', οὐ γὰρ ἔπειθε συμβουλεύων οἱ χρηστὰ, ὁ μὲν ἐπέπαυτο· ὁ δὲ, ἐπειδή οἱ τὰ πάντα παρεσκεύαστο, ἐξήλαυνε τὸν στρατὸν ἐκ Σούσων.

πδ΄. Ενθαῦτα τῶν Περσέων Οἰόβαζος ἐδεήθη Δαρείου, τριῶν ἐόντων οἱ παίδων, καὶ πάντων στρατευομένων, ἕνα αὐτῷ καταλειφθῆναι. ὁ δέ οἱ ἔφη, ὡς φίλῳ ἐόντι, καὶ

tur. Veſtigium Herculis oſtendunt petrae impreſſum, virili veſtigio ſimile, bicubitali magnitudine, juxta fluvium Tyrem. Et hoc ita ſe habet.

83. REDEO ad eam quam ab initio inſtitueram orationem: Dario adverſus Scythas exercitum comparanti, dimiſſis nunciis ad imperandum, aliis ut peditatum, aliis ut claſſem praeſtarent, aliis ut Boſporum Thracium ponte jungerent: Artabanus, Hyſtaſpis filius, Darii frater, nolebat illum ullo pacto Scythis inferre bellum, commemorans Scytharum inopiam, utilia ſuadens: quum tamen non perſuaderet illi, deſtitit a diſſuadendo. Darius, ubi omnia ei in expedito fuere, copias eduxit ex urbe Suſis.

84. Ibi eum Oeobazus ex Perſis, cui tres filii erant, et omnes militantes, obſecrabat ut unum ſibi relinqueret. Cui Darius tanquam amico et modeſta obſecran-

ti, reſpondit ſe omnes liberos relicturum. Eo reſponſo Oeobazus magnopere laetabatur, ſperans liberos ſuos miſſionem habere militiae. At ille adſtantes juſſit ut omnes Oeobazi filios interimerent. Ita filii Oeobazi obtruncati, illic ſunt relicti.

85. Darius Suſis movens, poſtquam pervenit ad Boſporum Calchedoniae, ubi pons junctus erat, illinc conſcenſa navi, tranſmiſit in Cyaneas, quae dicuntur, quas Graeci prius errabundas fuiſſe ajunt. Ibi ſedens in templo ſubjiciebat oculis Pontum, rem ſpectaculo dignam. nam inter omnia maria eſt maxime admirabilis. Cujus longitudo eſt undecim millium ac centum ſtadiorum: latitudo (qua latiſſimus ſui eſt) trium millium ducentorum. Hujus pelagi os latitudinis eſt quatuor ſtadiorum: longitudo oris (quod eſt collum)

μετρίων δεομένῳ, πάντας τοὺς παῖδας καταλείψειν. ὁ μὲν δὴ Οἰόβαζος περιχαρὴς ἦν, ἐλπίζων τοὺς υἱέας στρατηΐης ἀπολελύσθαι· ὁ δὲ ἐκέλευσε τοὺς ἐπεστεῶτας [e], ἀποκτεῖναι πάντας τοὺς Οἰοβάζου παῖδας· καὶ οὗτοι μὲν ἀποσφαγέντες, αὐτοῦ ταύτῃ ἐλίποντο.

πε΄. Δαρεῖος δὲ ἐπεί τε πορευόμενος ἐκ Σούσων ἀπίκετο τῆς Καλχηδονίης ἐπὶ τὸν Βόσπορον, ἵνα ἔζευκτο ἡ γέφυρα, ἐνθεῦτεν ἐσβὰς ἐς νέα, ἔπλεε ἐπὶ τὰς Κυανέας καλευμένας, τὰς πρότερον πλαγκτὰς Ἕλληνες φασὶ εἶναι. ἑζόμενος δὲ ἐπὶ τῷ ἱρῷ, ἐθηεῖτο [f] τὸν Πόντον ἐόντα ἀξιοθέητον. πελαγέων γὰρ ἁπάντων πέφυκε θωϋμασιώτατος. τοῦτο μὲν, μῆκος εἰσὶ στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοι· τοῦτο δὲ, τῇ εὐρύτατος αὐτὸς ἑωϋτοῦ, στάδιοι διηκόσιοι καὶ τρισχίλιοι. τούτου τοῦ πελάγεος τὸ στόμα, ἔστι εὖρος τέσσερες στάδιοι· μῆκος δὲ τοῦ στόματος, ὁ αὐχὴν, τὸ δὴ Βόσπορος κε-

[e] ὁ δὲ κελεύει τοὺς ἐπὶ τουτέων ἐπεστεῶτας. [f] ἐθηεῖτο.

κλῃται, κατ' ὃ δὴ ἔζευκτο ἡ γέφυρα, ἐπὶ σαδίους εἴκοσι καὶ ἑκατόν ἐστι. τείνει δ' ἐς τὴν Προποντίδα ὁ Βόσπορος. ἡ δὲ Προποντὶς, ἐοῦσα εὖρος μὲν σαδίων πεντακοσίων, μῆκος δὲ τετρακοσίων καὶ χιλίων, καταδιδοῖ ἐς τὸν Ἑλλήσποντον, ἐόντα στεινότητι μὲν ἑπτὰ σαδίους, μῆκος δὲ τετρακοσίους. ἐκδιδοῖ δὲ ὁ Ἑλλήσποντος ἐς χάσμα πελάγεος τὸ δὴ Αἰγαῖον καλέεται.

πϛ'. Μεμέτρηται δὲ ταῦτα ὧδε· νηῦς ἐπίπαν μάλιστά κη κατανύει ἐν μακρημερίῃ [a] ὀργυιέας ἑπτακισμυρίας, νυκτὸς δὲ, ἑξακισμυρίας [b]. ἤδη ὦν ἐς μὲν Φᾶσιν ἀπὸ τοῦ στόματος, (τοῦτο γάρ ἐστι τοῦ Πόντου μακρότατον) ἡμερέων ἐννέα πλόος ἐστὶ, καὶ νυκτῶν ὀκτώ· αὗται, ἕνδεκα μυριάδες καὶ ἑκατὸν ὀργυιέων γίνονται. ἐκ δὲ τῶν ὀργυιέων τουτέων, σάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοί εἰσι. ἐς δὲ Θεμίσκυραν τὴν ἐπὶ Θερμώδοντι ποταμῷ ἐκ τῆς Ινδικῆς, (κατὰ τοῦτο γάρ ἐστι τοῦ Πόντου εὐρύτατον) τριῶν τε ἡμερέων καὶ

[a] μακρῇ ἡμέρῃ. [b] Hae tres voces absunt ab MS.

quae Bosporus dicitur, ubi pons connectebatur, circiter centum viginti stadia. Bosporus ad Propontidem pertinet. Propontis autem latitudinis quingentorum stadiorum est, mille et quadringentorum longitudinis, influens in Hellespontum. Ipse Hellespontus, ubi angustissimus, stadiis septem, quadringentis longus, intrans pelagi hiatum quod Aegaeum vocatur.

86. Haec autem ita dimensa sunt. Navis fere meat omnino septuaginta millia orgyiarum longo die, nocte vero sexaginta millia. Itaque e faucibus Ponti ad Phasin (hoc est enim Ponti longissimum) novem dierum est navigatio, et octo noctium, quae fiunt centum ac decem millia orgyiarum et centum, hoc est, stadiorum undecim millia ac centum. E Sindica autem ad Themiscyram, quae est super flumen Thermodontem (hîc namque Ponti latissimum est) trium dierum duarumque

noctium est navigatio, quae fiunt passuum trecenta ac triginta millia, stadiorum vero tria millia et trecenta. Hunc igitur in modum Pontus ac Bosporus et Hellespontus a me dimensi sunt, et secundum ea quae dixi situm haberit. Quinetiam Pontus hic paludem habet influentem in se, non multo quam ipse est minorem, quae Maeotis appellatur, et mater Ponti.

87. Darius, ubi Pontum contemplatus est, renavigavit ad pontem, cujus architectus extitit Mandrocles Samius. Contemplatus item Bosporum, duos ad eum cippos erexit e candido lapide, incidens litteris in uno quidem Assyriis, in altero autem Graecis, omnes gentes quas ducebat. Ducebat autem omnes gentes quibus imperabat, continentes numero septingenta millia hominum cum equitatu, praeter classem, quae constabat e navibus sexcentis. His postea cippis Byzantii in

δύο νυκτῶν πλόον [c]. αὗται δὲ, τρεῖς καὶ τριήκοντα μυριάδες ὀργυιέων γίνονται, στάδιοι δὲ, τριηκόσιοι καὶ τρισχίλιοι. ὁ μέν νυν Πόντος οὗτος καὶ Βόσπορός τε καὶ Ἑλλήσποντος οὕτω τέ μοι μεμετρέαται, καὶ κατὰ τὰ εἰρημένα πεφύκασι. παρέχεται δὲ καὶ λίμνην ὁ Πόντος ἐκδιδοῦσαν [d] ἐς ἑωϋτὸν, οὐ πολλῷ τέῳ ἐλάσσω ἑωϋτοῦ· ἣ Μαιῆτίς τε καλέεται, καὶ μήτηρ τοῦ Πόντου.

πζ΄. Ὁ δὲ Δαρεῖος ὡς ἐθηήσατο τὸν Πόντον, ἔπλεε ὀπίσω ἐπὶ τὴν γέφυραν, τῆς ἀρχιτέκτων ἐγένετο Μανδροκλέης Σάμιος. θηησάμενος δὲ καὶ τὸν Βόσπορον, στήλας ἔστησε δύο ἐπ᾽ αὐτὸν [e], λίθου λευκοῦ, ἐνταμὼν γράμματα, ἐς μὲν τὴν Ασσύρια [f]· ἐς δὲ τὴν Ἑλληνικὰ, ἔθνεα πάντα ὅσαπερ ἦγε· ἦγε δὲ πάντα τῶν ἦρχε. τουτέων μυριάδες ἐξηριθμήθησαν, χωρὶς τοῦ ναυτικοῦ, ἑβδομήκοντα σὺν ἱππεῦσι· νέες δὲ ἑξακόσιαι συνελέχθησαν. τῇσι μέν νυν στήλῃσι ταύτῃσι Βυζάντιοι, κομίσαντες ἐς

[c] πλόος. [d] Πόντος οὗτος ἐκδιδοῦσαν. [e] αὐτοῦ. [f] τὴν ἑτέρην Ασσύρια.

τὴν πόλιν, ὕστερον τούτων ἐχρήσαντο πρὸς τὸν βωμὸν τῆς Ὀρθωσίης Ἀρτέμιδος, χωρὶς ἑνὸς λίθου. οὗτος κατελείφθη ¶ παρὰ τοῦ Διονύσου τὸν νηὸν ἐν Βυζαντίῳ, γραμμάτων Ἀσσυρίων πλέος. τοῦ δὲ Βοσπόρου ὁ χῶρος, τὸν ἔζευξε βασιλεὺς Δαρεῖος, ὡς ἐμοὶ δοκέει συμβαλλομένῳ, μέσον ἐστὶ Βυζαντίου τε καὶ τοῦ ἐπὶ στόματι ἱροῦ.

πή. Δαρεῖος δὲ μετὰ ταῦτα ἡσθεὶς τῇ σχεδίῃ, τὸν ἀρχιτέκτονα αὐτῆς Μανδροκλέα τὸν Σάμιον ἐδωρήσατο παισὶ δέκα· ἀπ' ὧν δὴ Μανδροκλέης ἀπαρχὴν, ζωαγραψάμενος πᾶσαν τὴν ζεῦξιν τοῦ Βοσπόρου, καὶ βασιλέα τε Δαρεῖον ἐν προεδρίῃ κατήμενον, καὶ τὸν στρατὸν αὐτοῦ διαβαίνοντα, ταῦτα γραψάμενος, ἀνέθηκε ἐς τὸ Ἥραιον, ἐπιγράψας τάδε,

Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε
Μανδροκλέης Ἥρῃ μνημόσυνον σχεδίης·
Αὐτῷ μὲν στέφανον περιθείς, Σαμίοισι δὲ κῦδος
Δαρείου βασιλέος ἐκτελέσας κατὰ νοῦν.

¶ οὗτος δὲ κατελείφθη

urbem ſuam translatis uſi ſunt ad aram Dianae Orthoſiae, praeter unum lapidem, qui apud Bacchi delubrum in eadem urbe relictus eſt litteris Aſſyriis opletus. Ceterum Boſpori locus quem rex Darius ponte commiſit, conjectanti mihi videtur medius inter Byzantium et templum quod ad os eſt.

88. Poſt haec Darius ponte ratito delectatus, autorem ejus Mandroclem Samium donavit decem pueris. Ex quorum primitiis Mandrocles pingendo totam commiſſionem Boſpori et regem Darium in ſolio ſedentem, ac copias ibi tranſeuntes, effinxit, eamque picturam templo Junonis dedicavit, cum hac inſcriptione,

Qui rate piſcoſum conjunxit Boſporon, implens
Darii regis vota, jubentis opus,
Junoni Mandrocles haec monumenta dicavit,
Effet honor Samiis unde, corona ſibi.

Haec igitur monumenta extiterunt ejus qui pontem compegit.

89. Quem ubi remuneratus eſt Darius, tranſmiſit in Europam, juſſis Ionibus navigare in Pontum uſque ad Iſtrum, atque ubi eo perveniſſent, ſe illic opperiri fluvium ponte jungentes. Ducebant enim claſſem Iones et Aeolenſes et Helleſpontii. Hi praetervecti Cyaneas, recta ad Iſtrum navigarunt, ſubvectique duorum dierum itinere a mari ad collum fluminis, ubi in oſtia ſcinditur, illud ponte jungunt. Darius, tranſmiſſo per ratem Boſporo, faciebat per Thraciam iter, et quum ad fontes Teari amnis perventum eſſet, triduo hîc habuit ſtativa.

90. Tearus fertur ab accolis amnium eſſe optimus cum ad alios morbos, tum

ταῦτα μέν νυν τοῦ ζεύξαντος τὴν γέφυραν μνημόσυνα ἐγένετο.

πθʹ. Δαρεῖος δὲ δωρησάμενος Μανδροκλέα, διέβαινε ἐς τὴν Εὐρώπην, τοῖσι Ἴωσι παραγγείλας πλέειν ἐς τὸν Πόντον, μέχρι Ἴστρου ποταμοῦ· ἐπεὰν δὲ ἀπίκωνται ἐς τὸν Ἴστρον, ἐνθαῦτα αὐτὸν περιμένειν, ζευγνύντας τὸν ποταμόν. τὸ γὰρ δὴ ναυτικὸν ἦγον Ἴωνές τε καὶ Αἰολέες καὶ Ἑλλησπόντιοι. ὁ μὲν δὴ ναυτικὸς στρατὸς τὰς Κυανέας διεκπλώσας, ἔπλεε ἰθὺ τοῦ Ἴστρου. ἀναπλώσας δὲ ἀνὰ τὸν ποταμὸν δυῶν ἡμερέων πλόον ἀπὸ θαλάσσης, τοῦ ποταμοῦ τὸν αὐχένα, ἐκ τοῦ σχίζεται τὰ στόματα τοῦ Ἴστρου, ἐζεύγνυε. Δαρεῖος δὲ, ὡς διέβη τὸν Βόσπορον κατὰ τὴν σχεδίην, ἐπορεύετο διὰ τῆς Θρηΐκης. ἀπικόμενος δὲ ἐπὶ Τεάρου ποταμοῦ τὰς πηγὰς, ἐστρατοπεδεύσατο ἡμέρας τρεῖς.

ϟʹ. Ὁ δὲ Τέαρος λέγεται ὑπὸ τῶν περιοίκων εἶναι ποταμῶν ἄριστος, τά τε

ἄλλα ἐς ἄκεσιν φέροντα, καὶ δὴ καὶ ἀνδράσι καὶ ἵπποισι ψώρην ἀκέσασθαι. εἰσὶ δὲ αὐτοῦ αἱ [a] πηγαὶ δυῶν δέουσαι τεσσερήκοντα, ἐκ πέτρης τῆς αὐτῆς ῥέουσαι. καὶ αἱ μὲν αὐτέων, εἰσὶ ψυχραί· αἱ δὲ, θερμαί. ὁδὸς δ' ἐπ' αὐτάς ἐστι ἴση ἐξ Ἡραίου τε πόλιος τῆς παρὰ Περίνθῳ, καὶ ἐξ Ἀπολλωνίης τῆς ἐν τῷ Εὐξείνῳ Πόντῳ, δυῶν ἡμερέων ἑκατέρη. ἐκδιδοῖ δὲ ὁ Τέαρος οὗτος ἐς τὸν Κοντάδεσδον ποταμόν· ὁ δὲ Κοντάδεσδος, ἐς τὸν Ἀγριάνην· ὁ δὲ Ἀγριάνης, ἐς τὸν Ἕβρον· ὁ δὲ, ἐς θάλασσαν τὴν παρ' Αἴνῳ πόλι.

ϟα'. Ἐπὶ τοῦτον ὦν τὸν ποταμὸν ἀπικόμενος ὁ Δαρεῖος, ὡς ἐστρατοπεδεύσατο, ἡσθεὶς τῷ ποταμῷ, στήλην ἔστησε καὶ ἐνθαῦτα γράμματα γράψας [b], λέγοντα τάδε, ΤΕΑΡΟΥ ΠΟΤΑΜΟΥ ΚΕΦΑΛΑΙ ὝΔΩΡ ΑΡΙΣΤΟΝ ΤΕ ΚΑΙ ΚΑΛΛΙΣΤΟΝ ΠΑΡΕΧΟΝΤΑΙ ΠΑΝΤΩΝ ΠΟΤΑΜΩΝ. ΚΑΙ ΕΠ' ΑΥΤΑΣ ΑΠΙΚΕΤΟ, ΕΛΑΥΝΩΝ ΕΠΙ ΣΚΥΘΑΣ ΣΤΡΑΤΟΝ, ΑΝΗΡ ΑΡΙΣΤΟΣ ΤΕ ΚΑΙ ΚΑΛΛΙΣΤΟΣ

[a] εἰσὶ γὰρ τούτου αἱ. [b] ἐγγράψας.

ad ſcabiem curandam vel hominum vel equorum. Ejus enim fontes duodequadraginta ſunt, ex eadem petra manantes, partim frigidi, partim calidi. Ad hos tantundem viae eſt ab Heraeo urbe juxta Perinthum, et ab Apollonia quae eſt in Ponto Euxino, duorum dierum utraque. Fluit autem Tearus hic in fluvium Contadeſdum, Contadeſdus in Agrianem, Agrianes in Hebrum, Hebrus in mare juxta urbem Aenum.

91. Ad hunc igitur amnem quum perveniſſet Darius, caſtraque poſuiſſet, oblectatus amne, cippum erexit etiam illic his litteris inſcriptum, TEARI AMNIS CAPITA OPTIMAM AQUAM ATQUE PULCHERRIMAM CUNCTORUM AMNIUM CONTINENT, ET AD EA PERVENIT, EXERCITUM DUCENS ADVERSUS SCYTHAS, VIR OPTIMUS ATQUE PULCHERRIMUS

CUNCTORUM HOMINUM, DARIUS HYSTASPIS FILIUS, PERSARUM CUNCTAEQUE CONTINENTIS REX. Haec ſunt illic ſcripta.

92. Darius hinc movens venit ad alium amnem nomine Artiſcum, qui per Odryſas fluit: quo ubi pervenit, ita agendum ſibi putavit. Oſtenſo certo loco copiis ſuis, juſſit illic virum quemque praetereuntem ponere unum lapidem in iſto demonſtrato loco. Id quum exercitus feciſſet, grandes acervos lapidum iſtic relinquens abduxit exercitum.

93. Sed priuſquam ad Iſtrum perveniret, primos ſubegit Getas, qui de immortalitate ſectam ſequuntur. Nam Thraces qui obtinent Salmydeſſum, quique ſupra Apolloniam et Meſambriam urbem incolunt, et qui Cyrmianae et Mypſaei vocantur, ſine pugna ſeſe ipſos Dario dediderunt. Getae vero ad pervicaci-

ΠΑΝΤΩΝ ΑΝΘΡΩΠΩΝ, ΔΑΡΕΙΟΣ Ὁ ὙΣΤΑΣΠΕΟΣ, ΠΕΡΣΕΩΝ ΤΕ ΚΑΙ ΠΑΣΗΣ ΤΗΣ ΗΠΕΙΡΟΥ ΒΑΣΙΛΕΥΣ. ταῦτα δὲ ἐνθαῦτα ἐγράφη.

4β΄. Δαρεῖος δὲ ἐνθεῦτεν ὁρμηθεὶς, ἀπίκετο ἐς ἄλλον ποταμὸν, τῷ οὔνομα Ἀρτισκός ἐστι, ὃς δὴ διὰ Ὀδρυσῶν ῥέει. ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ἀπικόμενος ἐποίησε τοιόνδε· ἀποδέξας χωρίον τῇ στρατιῇ, ἐκέλευε πάντα ἄνδρα λίθον ἕνα παρεξιόντα τιθέναι ἐς τὸ ἀποδεδεγμένον τοῦτο χωρίον· ὡς δὲ ταῦτα ἡ στρατιὴ ἐπετέλεσε, ἐνθαῦτα κολωνοὺς μεγάλους [c] τῶν λίθων καταλιπὼν, ἀπήλαυνε τὴν στρατιήν.

4γ΄. Πρὶν δὲ ἀπικέσθαι ἐπὶ τὸν Ἴστρον, πρώτους αἱρέει Γέτας τοὺς ἀθανατίζοντας. οἱ μὲν γὰρ δὴ τὸν Σαλμυδησσὸν ἔχοντες Θρήϊκες, καὶ ὑπὲρ Ἀπολλωνίης τε καὶ Μεσαμβρίης πόλιος οἰκημένοι, καλεύμενοι δὲ Κυρμιᾶναι, καὶ Μυψαῖοι, ἀμαχητὶ σφέας αὐτοὺς παρέδοσαν Δαρείῳ. οἱ δὲ Γέται,

[c] MS. μεγάλων.

πρὸς ἀγνωμοσύνην τραπόμενοι, αὐτίκα ἐδουλώθησαν, Θρηΐκων ἐόντες ἀνδρειότατοι καὶ δικαιότατοι.

ϞΔʹ. Ἀθανατίζουσι δὲ τόνδε τὸν τρόπον· οὔτε ἀποθνήσκειν ἑωϋτοὺς νομίζουσι, ἰέναι τε τὸν ἀπολλύμενον παρὰ Ζάμολξιν δαίμονα. οἱ [d] δὲ αὐτέων τὸν αὐτὸν τοῦτον νομίζουσι Γεβελέϊζιν [e]. διὰ πεντετηρίδος δὲ τὸν πάλῳ λαχόντα αἰεί σφέων αὐτέων ἀποπέμπουσι ἄγγελον παρὰ τὸν Ζάμολξιν, ἐντελλόμενοι τῶν ἂν ἑκάστοτε δέωνται. πέμπουσι δὲ ὧδε· οἱ μὲν αὐτέων ταχθέντες, ἀκόντια τρία ἔχουσι· ἄλλοι δὲ διαλαβόντες τοῦ ἀποπεμπομένου [f] παρὰ τὸν Ζάμολξιν τὰς χεῖρας καὶ τοὺς πόδας, ἀνακινήσαντες αὐτὸν μετέωρον, ῥίπτουσι ἐς τὰς λόγχας. ἢν μὲν δὴ ἀποθάνῃ ἀναπαρείς, τοῖσιδε ἵλεως ὁ θεὸς δοκέει εἶναι· ἢν δὲ μὴ ἀποθάνῃ, αἰτιῶνται αὐτὸν τὸν ἄγγελον, φάμενοί μιν ἄνδρα κακὸν εἶναι. αἰτιησάμενοι δὲ τοῦτον, ἄλλον ἀποπέμπουσι· ἐντέλλονται δὲ

[d] Ζάμολξιν· οἱ. sed MS. semper vocat Σάλμοξιν. [e] MS. νομίζουσι Βελέϊζιν. [f] MS. οὓς ἀποπεμπομένους.

am converſi, ſtatim in ſervitutem redacti ſunt, quum ſint fortiſſimi Thracum atque juſtiſſimi.

94. Immortalitatem autem tenent hoc modo: Nec mori ſe putant, et eum qui defunctus eſt, meare ad Zamolxin daemonem, quem nonnulli eorum opinantur eundem eſſe Gebeleizin. Per ſingula quinquennia eum qui ſorte ductus eſt, aſſidue ex ſe ipſis dimittunt nuncium ad Zamolxin, praecipientes ea quibus ſemper indigent: eumque ita mittunt; Quibuſdam eorum datur negotium, ut tria jacula teneant: aliis, ut comprehenſis ejus qui ad Zamolxin dimittitur, manibus pedibuſque, hominem agitantes in ſublime, jactent in jacula. Qui ſi transfixus extinguitur, propitium iſtis deum arbitrantur: ſin minus, ipſum nuntium cauſantur aſſeverantes malum illum eſſe virum. Hoc vituperato, alium dimittunt,

dantes adhuc viventi mandata. Iidem hi Thraces, dum tonat fulguratque, in coelum ſagittas excutiunt, deo minitantes, nec ullum alium deum praeter ſuum eſſe arbitrantes.

95. Verum (ut ego a Graecis accepi, Helleſpontum et Pontum incolentibus) Zamolxis hic, homo fuit, Samique ſervitutem ſervivit Pythagorae Mneſarchi filio. Illinc nactus libertatem, quum multum pecuniae comparaſſet, in patriam rediit. Qui quum animadverteret Thraces male viventes et ſubinſcite, ipſe edoctus Ionicum vivendi genus et mores liberaliores quam Thracum, ut qui verſatus eſſet cum Graecis, cumque Pythagora non infirmiſſimo inter Graecos ſophiſta, domicilium virile extruxit in quod primos quoſque popularium convivio accipiebat, et inter convivandum docebat, neque ſe neque ſuos convivas, neque illos qui in-

ἔτι ζῶντι. οὗτοι οἱ αὐτοὶ Θρήϊκες καὶ πρὸς βροντήν τε καὶ ἀστραπὴν τοξεύοντες ἄνω πρὸς τὸν οὐρανὸν, ἀπειλέουσι τῷ θεῷ οὐδένα ἄλλον θεὸν νομίζοντες εἶναι εἰ μὴ τὸν σφέτερον.

ϟέ. Ὡς δὲ ἐγὼ πυνθάνομαι τῶν τὸν Ἑλλήσποντον οἰκεόντων Ἑλλήνων καὶ Πόντον [a], τὸν Ζάμολξιν τοῦτον ἐόντα ἄνθρωπον, δουλεῦσαι ἐν Σάμῳ· δουλεῦσαι δὲ Πυθαγόρῃ τῷ Μνησάρχου. ἐνθεῦτεν δὲ αὐτὸν γενόμενον [b] ἐλεύθερον, χρήματα κτήσασθαι συχνά. κτησάμενον δὲ, ἀπελθεῖν ἐς τὴν ἑωϋτοῦ. ἅτε δὲ κακοβίων τε ἐόντων τῶν Θρηΐκων καὶ ὑπαφρονεστέρων, τὸν Ζάμολξιν τοῦτον ἐπιστάμενον δίαιτάν τε Ἰάδα, καὶ ἤθεα βαθύτερα ἢ κατὰ Θρήϊκας (οἷα Ἕλλησί τε ὁμιλήσαντα, καὶ Ἑλλήνων οὐ τῷ ἀσθενεστάτῳ σοφιστῇ Πυθαγόρῃ) κατασκευάσασθαι ἀνδρεῶνα, ἐς τὸν πανδοκεύοντα τῶν ἀστῶν τοὺς πρώτους, καὶ εὐωχέοντα, ἀναδιδάσκειν ὡς οὔτε αὐτὸς, οὔτε οἱ συμπόται αὐ-

[a] Haec duo vocabula καὶ Πόντον absunt ab MS. [b] δὲ γενόμενον.

τοῦ, οὔτε οἱ ἐκ τουτέων αἰεὶ γινόμενοι ἀποθανέονται, ἀλλ' ἥξουσι ἐς χῶρον τοῦτον ἵνα αἰεὶ περιεόντες ἕξουσι τὰ πάντα ἀγαθά. ἐν ᾧ δὲ ἐποίεε τὰ καταλεχθέντα, καὶ ἔλεγε ταῦτα, ἐν τούτῳ κατάγαιον οἴκημα ἐποιέετο· ὡς δέ οἱ παντελέως εἶχε τὸ οἴκημα, ἐκ μὲν τῶν Θρηΐκων ἠφανίσθη· καταβὰς δὲ κάτω ἐς τὸ κατάγαιον οἴκημα, διαιτᾶτο ἐπ' ἔτεα τρία· οἱ δέ μιν ἐπόθεόν τε καὶ ἐπένθεον ὡς τεθνεῶτα. τετάρτῳ δὲ ἔτεϊ ἐφάνη τοῖσι Θρήϊξι, καὶ οὕτω πιθανά σφι ἐγένετο τὰ ἔλεγε ὁ Ζάμολξις. ταῦτα φασί μιν ποιῆσαι.

Ϟϛ'. Ἐγὼ δὲ περὶ μὲν τούτου καὶ [c] τοῦ καταγαίου οἰκήματος οὔτε ἀπιστέω, οὔτε ὦν πιστεύω τι λίην [d]· δοκέω δὲ πολλοῖσι ἔτεσι πρότερον τὸν Ζάμολξιν τοῦτον γενέσθαι Πυθαγόρεω. εἴτε δὲ ἐγένετό τις Ζάμολξις ἄνθρωπος, εἴτ' ἐστι δαίμων τις Γέτῃσι οὗτος ἐπιχώριος, χαιρέτω. οὗτοι μὲν δὴ τρόπῳ τοιούτῳ χρεώμενοι, ὡς ἐχειρώθησαν

c Voces illae τούτου καὶ non sunt in MS. d οὔτε πιστεύω λίην.

de ſemper gignerentur, interire: ſed in eum locum venturos ubi ſuperſtites perpetuo omnium bonorum compotes eſſent. Dum ea quae commemorata ſunt ageret atque diceret, interim ſubterraneum aedificium ſtruebat. Quo prorſus abſoluto, e Thracum conſpectu ſubductus fuit; deſcendens in illud ſubterraneum aedificium. ubi circiter triennium egit; deſiderantibus eum Thracibus, ac deflentibus tanquam mortuum. quarto anno ſe eiſdem in conſpectu dedit. atque ita credibilia ſunt effecta quae illis expoſuerat: Haec Zamolxin ajunt feciſſe.

96. Cujus ſubterranneo aedificio neque fidem detraho, neque valde credo, ſed multis eum ante Pythagoram annis extitiſſe arbitror. Verum ſive Zamolxis quiſpiam fuerit homo, ſive ſit daemon Getarum indigena, valeat. Getae hoc ritu utentes, ubi a Dario et Perſis ſub-

acti fuerunt, reliquum sunt exercitum sequuti.

97. Darius ubi ad Istrum pervenit, et una pedestres copiae, cunctique flumen transmiserunt, tunc vero jussit Iones, postquam ratem solvissent, sequi se pedestri itinere, cum nauticis copiis. Qui quum ratem soluturi essent et imperata facturi, Coes Erxandri filius, Mitylenaeorum dux, ita apud Darium verba facit, sciscitatus antea nunquid ei gratum foret audire sententiam dicere volentis: 'Quum 'adversus eam terram rex facias expedi'tionem, in qua fertur nihil arari, nullas 'urbes coli, finito nunc pontem hoc lo'ci stare, relictis ad ejus tutelam custodi'bus iis qui eum contexuerunt: per quem 'sive ex sententia rem gerimus, Scythis 'inventis, sive illos invenire nequibimus, 'tutus nobis sit reditus. Neque enim ve-

ὑπὸ Δαρείου καὶ [e] Περσέων, εἵποντο τῷ ἄλλῳ στρατῷ.

47. Δαρεῖος δὲ, ὡς ἀπίκετο καὶ ὁ πεζὸς ἅμ' αὐτῷ στρατὸς ἐπὶ τὸν Ἴστρον, ἐνθαῦτα διαβάντων πάντων, Δαρεῖος ἐκέλευσε τοὺς Ἴωνας τὴν σχεδίην λύσαντας, ἕπεσθαι κατ' ἤπειρον ἑωϋτῷ, καὶ τὸν ἐκ τῶν νεῶν στρατόν. μελλόντων δὲ τῶν Ἰώνων λύειν, καὶ ποιέειν τὰ κελευόμενα, Κώης ὁ Ἐρξάνδρου, στρατηγὸς ἐὼν Μιτυληναίων, ἔλεξε Δαρείῳ τάδε, πυθόμενος πρότερον εἴ οἱ φίλον εἴη γνώμην ἀποδέκεσθαι [f] παρὰ τοῦ βουλομένου ἀποδείκνυσθαι, ‘ Ὦ βασιλεῦ, ἐπὶ γῆν γὰρ μέλλεις στρατεύεσθαι, τῆς οὔτε ἀρηρομένον φανήσεται οὐδὲν, οὔτε πόλις οἰκεομένη. σὺ νῦν γεφύρην ταύτην ἔα κατὰ χώρην ἑστάναι, φυλάκους αὐτῆς λιπὼν τούτους οἵπερ μιν ἔζευξαν. καὶ ἤν τε κατὰ νόον πρήξωμεν εὑρόντες Σκύθας, ἔσται ἄποδος ἡμῖν· ἤν τε καὶ μή σφεας εὑρεῖν δυνεώμεθα [g], ἥ γε ἀπο-

e Voces hae Δαρείου καὶ absunt a MS. f ἀποδείκνυσθαι. g δυνώμεθα.

‘ δος ἡμῖν ἀσφαλής. οὐ γὰρ ἔδεισά κω μὴ
‘ ἑσσωθέωμεν ὑπὸ Σκυθέων μάχῃ, ἀλλὰ
‘ μᾶλλον μὴ ὐ δυνάμενοι σφέας εὑρεῖν, πά-
‘ θωμέν τι ἀλώμενοι. καὶ τάδε λέγειν φαίη
‘ τις ἂν με ἑωϋτῦ εἵνεκεν, ὡς καταμένω·
‘ ἐγὼ δὲ γνώμην μὲν τὴν εὕρισκον ἀρίστην
‘ σοι βασιλεῦ, ἐς μέσον φέρω[a]· αὐτὸς μέν-
‘ τοι ἕψομαί τοι, καὶ οὐκ ἂν λειφθείην.’
κάρτα τε ἥσθη τῇ γνώμῃ Δαρεῖος, καί μιν
ἠμείψατο τοῖσδε, ‘ Ξεῖνε Λέσβιε, σωθέντος
‘ ἐμεῦ ὀπίσω ἐς οἶκον τὸν ἐμὸν, ἐπιφάνηθί
‘ μοι πάντως, ἵνα σε ἀντὶ χρηστῆς συμβου-
‘ λίης χρηστοῖσι ἔργοισι ἀμείψωμαι.’

λη'. Ταῦτα δὲ εἴπας[b], καὶ ἀπάψας
ἅμματα ἑξήκοντα ἐν ἱμάντι, καλέσας ἐς λό-
γυς τὺς Ἰώνων τυράννυς, ἔλεγε τάδε, ‘ Αν-
‘ δρες Ἴωνες, ἡ μὲν πρότερον γνώμη ἀπο-
‘ δεχθεῖσα ἐς τὴν γέφυραν, μετείσθω μοι.
‘ ἔχοντες δὲ τὸν ἱμάντα τόνδε, ποιέετε τά-
‘ δε· ἐπεὰν με ἴδητε τάχιστα πορευόμενον
‘ ἐπὶ Σκύθας, ἀπὸ τούτυ ἀρξάμενοι τοῦ

[a] φέσω est in MS. [b] ταῦτα ἔπας.

'ritus fuerim, ne proelio a Scythis supe-'remur: sed potius ne si eos invenire ne-'queamus, aliquid patiamur errabundi. 'At enim credat me quispiam mea ipsi-'us caussa haec dicere, ut hîc subsistam: 'ego vero, quod in tuam rem esse sentio, 'rex, id in medium profero. ipse tamen 'te sequi volo, neque hîc relinqui.' Delectatus admodum eo consilio Darius, ita respondit, 'Hospes Lesbie, fac omnino 'quum sospes domum rediero, praesto 'mihi sis, ut te ob egregium consilium 'egregiis factis remunerem.'

98. Haec loquutus, ubi sexaginta nodis lorum innodavit, accitis ad colloquium tyrannis Ionum, ita loquutus est, 'Viri Iones, quam prius habueram de ponte sententiam, eam missam facio. vos 'sumpto hoc loro, haec ita velim agatis: 'simulatque videritis me iter facere in 'Scythas, ex eo tempore incipientes, sol-

'vite quotidie unum nodum: intra quod 'tempus nisi adfuero, sed dies nodorum 'vobis exierint, vela facite in patriam ve-'stram. interea, quoniam consilium sic 'mutavi, agite custodiam ratis, omne stu-'dium illi et conservandae et custodien-'dae adhibentes: quod facientes, majo-'rem in modum mihi gratificabimini.' Haec loquutus Darius, promovet exercitum.

99. Thracia tellus in mare tendens, Scythicae praetenditur; sed sinu ejus terrae ducto Scythica excipit: et Ister ad hanc in ventum eurum os conversus exit. Quod autem ab Istro soli ipsius Scythici secundum mare est, id metiendo indicare aggrediar: Ab Istro haec jam vetus Scythia est, meridiem versus et austrum posita, usque ad urbem Carcinitin. ejusdem deinceps quod ad idem mare fert

'χρόνου, λύετε ἅμα ἓν ἑκάστης ἡμέρης·
'ἢν δὲ τούτῳ[a] τῷ χρόνῳ μὴ παρέω, ἀλ-
'λὰ διέλθωσι[b] ὑμῖν αἱ ἡμέραι τῶν ἀμ-
'μάτων, ἀποπλέετε ἐς τὴν ὑμετέρην αὐ-
'τέων. μέχρι δὲ τούτου, ἐπεί τε οὕτω με-
'τέδοξε, φυλάσσετε τὴν σχεδίην, πᾶσαν
'προθυμίην σωτηρίης τε καὶ φυλακῆς
'παρεχόμενοι. ταῦτα δὲ ποιεῦντες, ἐμοὶ
'μεγάλως χαριεῖσθε.' Δαρεῖος μὲν ταῦ-
τα εἴπας ἐς τὸ πρόσω ἐπείγετο.

Ϟθ'. Τῆς δὲ Σκυθικῆς γῆς ἡ Θρηΐκη τὸ ἐς θάλασσαν πρόκειται· κόλπου δὲ ἀγομένου τῆς γῆς ταύτης, ἡ Σκυθική τε ἐκδέκεται, καὶ ὁ Ἴστρος ἐκδιδοῖ ἐς αὐτὴν, πρὸς εὖρον ἄνεμον τὸ στόμα τετραμμένος. τὸ δὲ ἀπὸ Ἴστρου ἔρχομαι σημανέων, τὸ πρὸς θάλασσαν αὐτῆς Σκυθικῆς χώρης ἐς μέτρησιν. Ἀπὸ Ἴστρου αὕτη ἤδη ἀρχαίη Σκυθική ἐστι[c] πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον κειμένη, μέχρι πόλιος καλεομένης Καρκινίτιδος. τὸ δὲ ἀπὸ ταύτης, τὴν μὲν

[a] δὲ ἐν τούτῳ. [b] διεξέλθωσιν. [c] Σκυθίη ἐστί.

ἐπὶ θάλασσαν τὴν αὐτὴν φέρουσαν, ἐοῦσαν ὀρεινήν τε χώρην καὶ προκειμένην τὸ ἐς Πόντον, νέμεται τὸ Ταυρικὸν ἔθνος, μέχρι Χερσονήσου τῆς τρηχέης καλεομένης. αὕτη δὲ ἐς θάλασσαν τὴν πρὸς ἀπηλιώτην ἄνεμον κατήκει. ἔστι γὰρ τῆς Σκυθικῆς τὰ δύο μέρεα τῶν οὔρων ἐς θάλασσαν φέροντα, τήν τε πρὸς μεσαμβρίην, καὶ τὴν πρὸς τὴν ἠῶ, κατάπερ τῆς Ἀττικῆς χώρης. καὶ παραπλήσια ταύτῃ καὶ οἱ Ταῦροι νέμονται τῆς Σκυθικῆς, ὡς εἰ τῆς Ἀττικῆς ἄλλο ἔθνος καὶ μὴ Ἀθηναῖοι νεμοίατο τὸν γουνὸν τὸν Σουνιακὸν, μᾶλλον ἐς τὸν πόντον τὴν ἄκρην ἀνέχοντα τὸν ἀπὸ Θορικοῦ μέχρι Ἀναφλύστου δήμου. λέγω δὲ, ὡς εἶναι ταῦτα σμικρὰ μεγάλοισι συμβάλλειν. τοιοῦτον[d] ἡ Ταυρική ἐστι. ὃς δὲ τῆς Ἀττικῆς ταῦτα μὴ παραπέπλωκε, ἐγὼ δὲ ἄλλως δηλώσω· ὡς εἰ τῆς Ιηπυγίης ἄλλο ἔθνος, καὶ μὴ Ἰήπυγες, ἀρξάμενοι ἐκ Βρεντεσίου λιμένος, ἀποταμοίατο μέχρι Τά-

[d] τοιοῦτο.

montanae regionis, et in Pontum prominens, incolit gens Taurica uſque ad Cherſoneſum dictam aſperam. Haec ad mare pertinet quod ad ventum ſubſolanum eſt. Sunt autem finium Scythicae partes duae, ferentes ad mare, tum quod ad meridiem, tum quod ad orientem, quemadmodum Atticae regionis. Et ſimilem partem Scythiae Tauri incolunt, ut ſi Atticae jugum Suniacum alia gens, non Athenienſes, incoleret, quod magis in pontum, qui eſt ab Thorico uſque ad Anaphlyſtum populum, porrigit promontorium. talis eſt (ut parva cum magnis comparem) Taurica regio. Qui autem non eſt has Atticae partes praetervectus, huic alio modo planum faciam: ut ſi Japygiae alia gens et non Japyges, incipientes a Brunduſio portu praecidantur uſque Tarentum, et promontorium inco-

lant. Quum haec duo dico, multa persimilia dico, quibus aliis Taurica est comparanda.

100. Ab Taurica deinceps Scythae supra Tauros et orientale versus mare incolunt, et quae Bospori Cimmerii sunt ad vesperam vergentia, et quae paludis Maeotidis Tanai fluvio tenus, qui influit in hujus paludis recessum. Itaque ab Istro jam quae ad superiora pertinet ferentia in mediterranea, secluditur Scythia ab primis Agathyrsis, deinde a Neuris, deinde ab Androphagis, postremo a Melanchlaenis.

101. Itaque Scythiae veluti formam quadratam habentis, duabus partibus ad mare pertinentibus, prorsus aequale, tum quod ad mediterranea fert, tum quod ad mare. nam ab Istro ad Borysthenem, decem dierum est iter, tantundem a Borysthene ad Maeotin paludem. A mari me-

ραντος, καὶ νεμοίατο τὴν ἄκρην. δύο δὲ λέγων ταῦτα, πολλὰ λέγω παρόμοια, τοῖσι ἄλλοισι ἔοικε ἡ Ταυρική.

ρ΄. Τὸ δ' ἀπὸ τῆς Ταυρικῆς, ἤδη Σκύθαι τὸ κατύπερθε τῶν Ταύρων καὶ τὰ πρὸς θαλάσσης τῆς ἠοίης νέμονται· τοῦ τε Βοσπόρου τοῦ Κιμμερίου τὰ πρὸς ἑσπέρης, καὶ τῆς λίμνης τῆς Μαιήτιδος, μέχρι Τανάϊδος ποταμοῦ, ὃς ἐκδιδοῖ ἐς μυχὸν τῆς λίμνης ταύτης. ἤδη ὦν ἀπὸ μὲν Ἴστρου τὰ κατύπερθε ἐς τὴν μεσόγαιαν φέροντα ἀποκληΐεται ἡ Σκυθικὴ ὑπὸ πρώτων Αγαθύρσων· μετὰ δὲ, Νευρῶν· ἔπειτα δὲ, Ανδροφάγων· τελευταίων δὲ, Μελαγχλαίνων.

ρα΄. Εστι ὦν τῆς Σκυθικῆς, ὡς ἐούσης τετραγώνου, τῶν δύο μερέων κατηκόντων ἐς θάλασσαν, πάντη ἴσον τό, τε ἐς τὴν μεσόγαιαν φέρον καὶ τὸ παρὰ τὴν θάλασσαν. ἀπὸ γὰρ Ιστρου ἐπὶ Βορυσθένεα δέκα ἡμερέων ὁδός· ἀπὸ Βορυσθένεός τ' ἐπὶ τὴν λίμνην τὴν Μαιῆτιν, ἑτέρων δέκα. καὶ τὸ ἀπὸ

θαλάσσης ἐς μεσόγαιαν ἐς τοὺς Μελαγχλαίνους τοὺς κατύπερθε Σκυθέων οἰκημένους, εἴκοσι ἡμερέων ὁδός. ἡ δὲ ὁδὸς ἡ ἡμερησίη ἀνὰ διηκόσια στάδια συμβέβληταί μοι. οὕτω ἂν εἴη πρὸς Σκυθικῆς [e] τὰ ἐπικάρσια, τετρακισχιλίων σταδίων· καὶ τὰ ὄρθια τὰ ἐς τὴν μεσόγαιαν φέροντα, ἑτέρων τοσούτων σταδίων. ἡ μέν νυν γῆ αὕτη ἐστι μέγαθος τοσαύτη.

ρβ'. Οἱ δὲ Σκύθαι δόντες σφίσι λόγον ὡς οὐκ οἷοί τέ εἰσι τὸν Δαρείου στρατὸν ἰθυμάχη διώσασθαι [f] μοῦνοι, ἔπεμπον ἐς τοὺς πλησιοχώρους ἀγγέλους. τῶνδε καὶ δὴ οἱ βασιλῆες συνελθόντες ἐβουλεύοντο ὡς στρατοῦ ἐπελαύνοντος μεγάλου. ἔσαν δὲ οἱ συνελθόντες βασιλῆες, Ταύρων, καὶ Αγαθύρσων, καὶ Νευρῶν, καὶ Ανδροφάγων, καὶ Μελαγχλαίνων, καὶ Γελωνῶν, καὶ Βουδίνων, καὶ Σαυροματέων.

ργ'. Τούτων Ταῦροι μὲν νόμοισι τοιοῖσιδε χρέωνται· θύουσι μὲν τῇ παρθένῳ τοὺς

[e] ἀπὸ τῆς Σκυθικῆς. [f] ἰθυμαχίῃ δηώσασθαι,

diterranea versus, ad Melanchlaenos qui supra Scythas habitant, viginti dierum iter. Supputantur autem a me in singulos dies itineris ducenta stadia. Ita transversa Scythiae erunt quatuor millium stadiorum: recta quae ad mediterranea ferunt, aliorum totidem stadiorum. Tantae est haec terra magnitudinis.

102. Scythae inter se colloquuti, quum soli impares essent copiis Darii proelio repellendis, nuncios ad finitimos misere. Eorum reges quoque ubi convenere, consultabant, ut ingenti exercitu invadente. Erant autem qui convenerant reges, Taurorum, et Agathyrsorum, et Neurorum, et Androphagorum, et Melanchlaenorum, et Gelonorum, et Budinorum, et Sauromatarum.

103. E quibus Tauri hujusmodi moribus utuntur; Virgini naufragos immo-

lant, et quoſcunque Graecos ceperint illuc delatos, hoc modo: poſtquam preces peregerunt, hominis caput clava feriunt, truncum ejus quidam ajunt deturbari e rupe. nam in rupe praerupta templum eſt ſitum; cruci affigunt caput. Quidam de capite *ſuffigendo* conſentiunt, ſed truncum e praecipitio dejici negant, ſed humo contegi dicunt. Daemonem cui immolant, ipſi Tauri ajunt eſſe Iphigeniam, Agamemnonis filiam. In hoſtes autem quos ceperint, hoc agunt: Amputatum quiſque caput hoſtis domum reportat, et ingenti fuſti transfixum ſupra tecta eminens multum ſtatuit, et plerunque ſupra fumarium: ideo in ſublimi ſuſpendi dicentes quaſi totius domus cuſtodes. Vivunt autem e rapto et ex bello.

104. At Agathyrſi lautiſſimi viri ſunt, et aurum plerunque geſtantes. In com-

τε ναυηγοὺς, καὶ τοὺς ἂν λάβωσι Ἑλλήνων ἐπαναχθέντας, τρόπῳ τοιῷδε· κατάρξ εὐξάμενοι, ῥοπάλῳ παίουσι τὴν κεφαλήν. οἱ μὲν δὴ λέγουσι ὡς τὸ σῶμα ἀπὸ τοῦ κρημνοῦ διωθέουσι κάτω· (ἐπὶ γὰρ κρημνοῦ ἵδρυται τὸ ἱρόν) τὴν δὲ κεφαλὴν ἀνασταυροῦσι. οἱ δὲ, κατὰ μὲν τὴν κεφαλὴν ὁμολογέουσι, τὸ μέντοι σῶμα οὐκ ὠθέεσθαι ἀπὸ τοῦ κρημνοῦ λέγουσι, ἀλλὰ γῇ κρύπτεσθαι. τὴν δὲ δαίμονα ταύτην τῇ θύουσι, λέγουσι αὐτοὶ Ταῦροι Ἰφιγένειαν τὴν Ἀγαμέμνονος εἶναι. πολεμίους δὲ ἄνδρας τοὺς ἂν χειρωσώνται [a], ποιεῦσι τάδε· ἀποταμὼν ἕκαστος κεφαλὴν, ἀποφέρεται ἐς τὰ οἰκία· ἔπειτα ἐπὶ ξύλου μεγάλου ἀναπείρας ἱστᾷ ὑπὲρ τῆς οἰκίης ὑπερέχουσαν πολλὸν, μάλιστα δὲ ὑπὲρ τῆς καπνοδόκης. φασὶ δὲ τούτους φυλάκους τῆς οἰκίης πάσης ὑπεραιωρέεσθαι. ζῶσι δὲ ἀπὸ ληΐης τε καὶ πολέμου.

ρδ'. Ἀγάθυρσοι δὲ, ἁβρότατοι ἀνδρῶν εἰσὶ, καὶ χρυσοφόροι τὰ μάλιστα. ἐπίκοινον

[a] χειρώσωσι.

δὲ τῶν γυναικῶν τὴν μίξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἔωσι, καὶ οἰκήϊοι ἐόντες πάντες, μήτε φθόνῳ, μήτ' ἔχθεϊ χρέωνται ἐς ἀλλήλους. τὰ δ' ἄλλα νόμαια Θρήϊξι προσκεχωρήκασι.

ρέ. Νευροὶ δὲ νόμοισι μὲν χρέωνται τοῖσι Σκυθικοῖσι, γενεῇ δὲ μιῇ πρότερόν σφεας τῆς Δαρείου στρατηλασίης, κατέλαβε ἐκλιπεῖν τὴν χώρην πᾶσαν ὑπὸ ὀφίων. ὄφιας γάρ σφι πολλοὺς μὲν ἡ χώρη ἀνέφαινε, οἱ δὲ πλεῦνες ἄνωθέν σφι ἐκ τῶν ἐρήμων ἐπέπεσον. ἐς ὃ πιεζόμενοι, οἴκησαν μετὰ Βουδίνων τὴν ἑωϋτῶν ἐκλιπόντες. κινδυνεύουσι δὲ οἱ ἄνθρωποι οὗτοι γόητες εἶναι. λέγονται γὰρ ὑπὸ Σκυθέων καὶ Ἑλλήνων τῶν ἐν τῇ Σκυθικῇ κατοικημένων, ὡς ἔτεος ἑκάστου ἅπαξ τῶν Νευρῶν ἕκαστος, λύκος γίνεται ἡμέρας ὀλίγας, καὶ αὖτις ὀπίσω ἐς τὠϋτὸ κατίσταται. ἐμὲ μέν νυν ταῦτα λέγοντες οὐ πείθουσι· λέγουσι δὲ οὐδὲν ἧσσον, καὶ ὀμνύουσι δὲ λέγοντες.

[b] MS. ταυτά.

mune cum mulieribus coeunt, ut inter ſe germani ſint ac domeſtici omnes, nihil neque livoris neque odii mutuo exercentes: in ceteris ad Thracum conſuetudines accedunt.

105. At Neuri Scythicis quidem utuntur moribus, qui una ante Darii expeditionem aetate coacti fuerant ſolum vertere propter ſerpentes. nam ſerpentum cum magna vis ex ipſorum ſolo eſt edita, tum major ſuperne e locis deſertis ingruerat: quibus uſque adeo infeſtati fuerunt, ut relicto ſuo ſolo cum Budinis habitaverint. Iidem homines in periculum veniunt, ut praeſtigiatores habeantur; dicuntur enim a Scythis et ab iis qui in Scythia incolunt Graecis, ſemel quotannis ſinguli ad paucos dies effici lupi, et rurſus in priſtinum habitum redire. quod tamen dicentes mihi non perſuadent: nihilominus tamen illi ajunt ita eſſe, ac dejerant.

106. Androphagi agreſtes maxime omnium hominum mores habent, non judiciis, non legibus utentes, pecuariam exercentes, veſtem Scythicae ſimilem geſtantes, propriam linguam habentes.

107. Melanchlaeni omnes indumenta nigra gerunt, unde et cognomen habent, qui ſoli humana carne veſcuntur, inſtitutis Scythicis utentes.

108. Budini, ingens natio atque numeroſa, vehementer caeſiis oculis omnis ac rufa: quorum urbs nomine Gelonus e materia conſtructa eſt; muri ea magnitudo eſt, ut ſingula latera tricenorum ſtadiorum ſint; eſt vero altus et totus ligneus. Aedes quoque cum privatae, tum ſacrae ſunt e materia. Nam ſunt ibi deorum Graecorum templa Graecanice extructa, ſimulacris, aris, delubris ligneis. Baccho triennalia agunt, et bacchanal exercent. quippe Geloni ſunt ab originis

ρϛ'. Ανδροφάγοι δὲ ἀγριώτατα πάντων ἀνθρώπων ἔχουσι ἤθεα· οὔτε δίκην νομίζοντες, οὔτε νόμῳ οὐδενὶ χρεώμενοι. νομάδες δέ εἰσι. ἐσθῆτα δὲ φορέουσι τῇ Σκυθικῇ ὁμοίην, γλῶσσαν δὲ ἰδίην.

ρζ'. Μελάγχλαινοι δὲ εἵματα μὲν μέλανα φορέουσι πάντες, ἐπ' ὧν [c] καὶ τὰς ἐπωνυμίας ἔχουσι. ἀνδροφαγέουσι δὲ μοῦνοι τούτων· νόμοισι δὲ Σκυθικοῖσι χρέωνται.

ρη'. Βουδῖνοι δὲ, ἔθνος ἐὸν μέγα καὶ πολλὸν, γλαυκόν τε πᾶν ἰσχυρῶς ἐστι καὶ πυῤῥόν. πόλις δὲ ἐν αὐτοῖσι πεπόλισται ξυλίνη· οὔνομα δὲ τῇ πόλι ἐστὶ Γελωνός. τοῦ δὲ τείχεος μέγαθος κῶλον ἕκαστον, τριήκοντα σταδίων ἐστὶ, ὑψηλὸν δὲ, καὶ πᾶν ξύλινον· καὶ οἰκίαι αὐτῶν ξύλιναι, καὶ τὰ ἱρά· ἔστι γὰρ δὴ αὐτόθι Ἑλληνικῶν θεῶν ἱρὰ, Ἑλληνικῶς κατεσκευασμένα ἀγάλμασί τε καὶ βωμοῖσι καὶ νηοῖσι ξυλίνοισι. καὶ τῷ Διονύσῳ τριετηρίδας ἀνάγουσι, καὶ βακχεύουσι. εἰσὶ γὰρ οἱ Γελωνοὶ τὸ ἀρχαῖον Ἕλληνες, ἐκ δὲ

[c] ἀπ' ὧν.

τῶν ἐμπορίων ἐξαναστάντες, οἴκησαν ἐν τοῖσι Βουδίνοισι· καὶ γλώσσῃ τὰ μὲν, Σκυθικῇ, τὰ δὲ, Ἑλληνικῇ χρέωνται.

ρθ΄. Βουδῖνοι δὲ οὐ τῇ αὐτῇ γλώσσῃ χρέωνται καὶ Γελωνοί· οὐδὲ δίαιτα ἡ αὐτή. οἱ μὲν γὰρ Βουδῖνοι, ἐόντες αὐτόχθονες, νομάδες τέ εἰσι καὶ φθειροτραγέουσι μοῦνοι τῶν ταύτῃ· Γελωνοὶ δὲ, γῆς τε ἐργάται, καὶ σιτοφάγοι, καὶ κήπους ἐκτημένοι οὐδὲν τὴν [d] ἰδέην ὁμοῖοι, οὐδὲ τὸ χρῶμα. ὑπὸ μέντοι Ἑλλήνων καλέονται καὶ οἱ Βουδῖνοι, Γελωνοὶ, οὐκ ὀρθῶς καλεόμενοι. ἡ δὲ χώρη σφέων, πᾶσά ἐστι δασέη ἴδῃσι παντοίῃσι. ἐν δὲ τῇ ἴδῃ τῇ πλείστῃ ἐστὶ λίμνη μεγάλη τε καὶ πολλὴ, καὶ ἕλος, καὶ κάλαμος περὶ αὐτήν. ἐν δὲ ταύτῃ ἐνίδρυες ἁλίσκονται, καὶ κάστορες, καὶ ἄλλα θηρία τετραγωνοπρόσωπα, τῶν τὰ δέρματα περὶ τὰς σισύρας [e] παραῤῥάπτεται· καὶ οἱ ὄρχεες αὐτοῖσι [f] εἰσὶ χρήσιμοι ἐς ὑστερέων ἄκεσιν.

ρι΄. Σαυροματέων δὲ πέρι ὧδε λέγεται·

[d] οὐδὲ τὴν. [e] MS. σισύρνας. [f] αὐτέων.

vetustate Graeci, sed ex emporiis summoti inter Budinos habitaverunt: lingua partim Scythica, partim Graeca utentes.

109. Budini non lingua, non victu utuntur eodem Gelonis: nam Budini, utpote indigenae tum pastores sunt, tum soli ejus regionis pediculos edunt. at Geloni agriculturae operam dantes frumento victitant, et hortos possident, nihil illis neque aspectu neque colore similes: a Graecis autem etiam Budini vocantur Geloni, non recte vocantibus. Horum regio omnis est arboribus omnis generis frequens; et ubi plurimum consita, ibi est lacus ingens et multus, et palus, ac circa eam arundo. In eo lacu lutrae capiuntur, et castores, et aliae ferae, oris quadrati, quorum pelles circa renones adsuuntur, et testiculos habent ad uterorum medelam utiles.

110. De Sauromatis vero ita memo-

ratur: Quum Graeci bellaverunt cum Amazonibus (quas Scythae Oeorpata vocant, quod nomen poteſt transferri, Viricidae: oeor enim virum dicunt, pata autem occidere) feruntur poſt victoriam proelii ad Thermodontem facti, abiiſſe, portantes tribus in navibus quaſcunque potuerant ex Amazonibus vivas capere: quibus illae in pelago inſidiatae, cunctos trucidavere. Sed quum naves haberent incognitas, nec gubernaculis aut velis aut remis uterentur, interfectis viris, ferebantur ſecundum fluctus et ventum; delataeque ſunt ad paludis Maeotidis Cremnos, *praerupta*, quae Scytharum liberorum telluris ſunt. Ibi e navibus egreſſae Amazones, ad loca habitata iter facientes, quod primum nactae ſunt equorum armentum, diripiunt, conſcenduntque: et obequitantes, e Scythis praedas agunt.

ὅτε Ἕλληνες Ἀμαζόσι ἐμαχέσαντο, (τὰς δὲ Ἀμαζόνας καλέουσι Σκύθαι Οἰόρπατα [a]. δύναται δὲ τὸ οὔνομα τοῦτο κατ' Ἑλλάδα γλῶσσαν ἀνδροκτόνοι. Οἰὸρ [b] γὰρ καλέουσι τὸν ἄνδρα, τὸ δὲ πατὰ, κτείνειν) τότε λόγος τοὺς Ἕλληνας νικήσαντας τῇ ἐπὶ Θερμώδοντι μάχῃ, ἀποπλέειν ἄγοντας τρισὶ πλοίοισι τῶν Ἀμαζόνων ὅσας ἠδυναίατο [c] ζωγρῆσαι· τὰς δὲ ἐν τῷ πελάγεϊ ἐπιθεμένας, ἐκκόψαι τοὺς ἄνδρας· πλοῖα δὲ οὐ γινώσκειν αὐτὰς, οὐδὲ πηδαλίοισι χρῆσθαι, οὐδὲ ἱστίοισι, οὐδὲ εἰρεσίῃ· ἀλλ' ἐπεὶ ἐξέκοψαν τοὺς ἄνδρας, ἐφέροντο κατὰ κῦμα καὶ ἄνεμον· καὶ ἀπικνέονται τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Κρημνούς. οἱ δὲ Κρημνοὶ, εἰσὶ τῆς γῆς τῶν Σκυθέων τῶν ἐλευθέρων. ἐνθαῦτα ἀποβᾶσαι ἀπὸ τῶν πλοίων αἱ Ἀμαζόνες, ὡδοιπόρεον ἐς τὴν οἰκεομένην. ἐντυχοῦσαι δὲ πρώτῳ ἱπποφορβίῳ, τοῦτο διήρπασαν· καὶ ἐπὶ τούτων ἱππαζόμεναι, ἐληΐζοντο τὰ τῶν Σκυθέων.

[a] Αἰορπατά. [b] αἰόρ. [c] MS. ἠδυνέατο.

ρια΄. Οἱ δὲ Σκύθαι οὐκ εἶχον συμβαλέσθαι τὸ πρῆγμα. οὔτε γὰρ φωνὴν, οὔτε ἐσθῆτα, οὔτε τὸ ἔθνος ἐγίνωσκον, ἀλλ' ἐν θωύματι ἔσαν ὁκόθεν ἔλθοιεν. ἐδόκεον δ' αὐτὰς εἶναι ἄνδρας τὴν αὐτὴν ἡλικίην ἔχοντας. μάχην τε δὴ πρὸς αὐτὰς ἐποιεῦντο· ἐκ δὲ τῆς μάχης τινὰς τῶν γυναικῶν ἐκράτησαν οἱ Σκύθαι, καὶ οὕτω ἔγνωσαν ἐούσας γυναῖκας. βουλευομένοισι ὦν αὐτοῖσι ἔδοξε κτείνειν μὲν οὐδενὶ τρόπῳ ἔτι αὐτὰς, ἑωϋτῶν δὲ τοὺς νεωτάτους ἀποπέμψαι ἐς αὐτὰς, πλῆθος εἰκάσαντας ὅσαιπερ ἐκεῖναι ἔσαν· τούτους δὲ στρατοπεδεύεσθαι πλησίον ἐκεινέων, καὶ ποιέειν τάπερ ἂν καὶ ἐκεῖναι ποιέωσι. ἢν δὲ αὐτοὺς διώκωσι, μάχεσθαι μὲν μὴ, ὑποφεύγειν δέ· ἐπεὰν δὲ παύσωνται, ἐλθόντας αὐτοὺς πλησίον, στρατοπεδεύεσθαι. ταῦτα ἐβουλεύσαντο οἱ Σκύθαι, βουλόμενοι ἐξ αὐτέων παῖδας ἐγγενήσεσθαι.

ριβ΄. Ἀποπεμφθέντες δὲ οἱ νεηνίσκοι, ἐποίευν τὰ ἐντεταλμένα· ἐπεὶ δὲ ἔμαθον

111. Scythae quid hoc rei esset conjicere nequibant, quum neque vocem, neque vestem, neque gentem agnoscerent; admirabundi unde venirent, et rati cunctos esse viros ejusdem aetatis. Ergo commissa cum eis pugna fuit; unde potiti quibusdam, ita demum feminas esse cognoverunt. Itaque consilio habito visum est eis, nullo pacto posthac quampiam illarum occidere: sed ex se qui maxime juvenes essent, in eas dimitti, eodem numero quo illas esse conjectabant, qui sua prope eas castra haberent, et eadem quoque illis facerent. Si invaderentur, non quidem pugnare, sed subterfugere: ubi subsisterent illae, ipsos etiam proxime accedentes castra ponere. Hoc Scythae idcirco decreverunt, quod prolem ex illis suscipere cupiebant.

112. Adolescentes qui missi sunt, mandata peregerunt. quos ubi Amazo-

nes intellexerunt neutiquam ad ſe laedendas veniſſe, valere ſinebant. quotidie tamen caſtra caſtris propius admovebantur. Ceterum ne ipſi quidem adoleſcentes quicquam habebant, quemadmodum Amazones, praeter arma et equos: et vitam eandem illis vivebant, venando atque praedando.

113. Circa meridiem Amazones ſolebant aut ſingulae aut binae ſeparatim a reliquis ad ventrem levandum longius vagari. ea re Scythae cognita, et ipſi idem faciunt, quorum aliquis uni illarum, quae ſolivagae erant, quum ſe admoviſſet, non ſe avertit Amazon, ſed uti permiſit: nec appellare quidem poterat (non enim intelligebant ſe invicem) tamen manu ſignificavit, ut ad eundem locum poſtridie rediret, adducto ſecum altero, ut duo eſſent; ſe quoque alteram adductu-

αὐτοὺς αἱ Ἀμαζόνες ἐπ᾽ οὐδεμιῇ δηλήσει ἀπιγμένους, ἔων χαίρειν. προσεχώρεον δὲ πλησιαιτέρω τὸ στρατόπεδον τῷ στρατοπέδῳ ἐπ᾽ ἡμέρῃ ἑκάστῃ. εἶχον δὲ οὐδὲν οὐδ᾽ οἱ νεηνίσκοι, ὥσπερ αἱ Ἀμαζόνες, εἰ μὴ τὰ ὅπλα, καὶ τοὺς ἵππους· ἀλλὰ ζόην ἔζωον τὴν αὐτὴν ἐκείνῃσι, θηρεύοντές τε καὶ ληϊζόμενοι.

ριγ´. Ἐποίεον δὲ αἱ Ἀμαζόνες ἐς τὴν μεσαμβρίην τοιόνδε· ἐγίνοντο σποράδες κατὰ μίην τε καὶ δύο, πρόσω δὴ ἀπ᾽ [d] ἀλληλέων ἐς εὐμαρίην ἀποσκιδνάμεναι. μαθόντες δὲ καὶ οἱ Σκύθαι, ἐποίευν τὠϋτὸ τοῦτο· καί τις μουνωθεισέων αὐτέων τινὶ ἐνεχρίμπτετο, καὶ ἡ Ἀμαζὼν οὐκ ἀπωθέετο, ἀλλὰ περιεῖδε χρήσασθαι. καὶ φωνῆσαι μὲν οὐκ εἶχε, (οὐ γὰρ συνίεσαν ἀλλήλων) τῇ δὲ χειρὶ ἔφραζε τὴν [e] ὑστεραίην ἐλθεῖν ἐς τὠϋτὸ χωρίον, καὶ ἕτερον ἄγειν· σημαίνουσα δύο γενέσθαι, καὶ αὐτὴ ἑτέρην ἄξειν. ὁ δὲ νεηνίσκος ἐπεὶ ἀπῆλθε, ἔλεξε ταῦτα

[d] πρόσω ἀπ᾽. [e] ἔφραζε ἐς τὴν.

πρὸς τοὺς λοιπούς. τῇ δὲ ὑστεραίῃ ἦλθε ἐς τὸ χωρίον αὐτός τε οὗτος, καὶ ἕτερον ἦγε, καὶ τὴν Ἀμαζόνα εὗρε δευτέρην αὐτὴν [f] ὑπομένουσαν.

ριδ´. Οἱ δὲ λοιποὶ νεηνίσκοι ὡς ἐπύθοντο ταῦτα, καὶ αὐτοὶ ἐκτιλώσαντο τὰς λοιπὰς τῶν Ἀμαζόνων. μετὰ δὲ, συμμίξαντες τὰ στρατόπεδα, οἴκεον ὁμοῦ, γυναῖκα ἔχων ἕκαστος ταύτην τῇ τοπρῶτον συνεμίχθη. τὴν δὲ φωνὴν τὴν μὲν τῶν γυναικῶν, οἱ ἄνδρες οὐκ ἐδυναίατο [g] μαθεῖν, τὴν δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες συνέλαβον. ἐπεὶ δὲ συνῆκαν ἀλλήλων, ἔλεξαν πρὸς τὰς Ἀμαζόνας τάδε οἱ ἄνδρες, ‘Ἡμῖν εἰσὶ μὲν τοκέες, εἰσὶ δὲ κτήσεις. νῦν ὦν μηκέτι πλεῦνα χρόνον ζόην τοιήνδε ἔχωμεν· ἀλλ᾽ ἀπελθόντες ἐς τὸ πλῆθος, διαιτώμεθα. γυναῖκας δὲ ἕξομεν ὑμέας, καὶ οὐδαμέας [i] ἄλλας.’ αἱ δὲ πρὸς ταῦτα ἔλεξαν τάδε, ‘Ἡμεῖς οὐκ ἂν δυναίμεθα οἰκέειν μετὰ τῶν ὑμετέρων γυναικῶν, οὐ

[f] αὐτὸν. [g] MS. ἐδυνέατο. [i] οὐδαμάς.

ram. Digressus ab ea juvenis haec enarrat caeteris: posteroque die socium secum ducens, ad locum praesto fuit, ac reperit Amazonem cum alterâ expectantem.

114. Ejus rei certiores facti reliqui juvenes, et ipsi conciliaverunt ceteras. Post haec commixtis castris pariter habitarunt; eam quisque uxorem, cum qua primum coierat, habentes. Earum vocem quum ipsi discere non possent, ipsorum illae discebant. Et quum se mutuo intelligerent, viri ad Amazones ista dixerunt; 'Nobis parentes sunt; sunt et facultates; proinde non agamus diutius 'hanc vitam, sed hinc digressi, in hominum frequentia degamus, ubi vos habebimus uxores, nequaquam alias.' Ad haec illae responderunt, 'Nos vero non 'possumus vestris cum feminis habitare,

'quibus non iidem qui nobis sunt mo-
'res. nos enim arcu tela excutimus, et
'jaculamur, et equitamus, muliebria o-
'pera non edoctae: vestrae feminae nihil
'eorum quae recensuimus, sed opera mu-
'liebria factitant, manentes in plaustris,
'non ad venationem atque alia hujusmo-
'di prodeuntes. proinde non possumus
'inter illas versari. Quod si vobis cordi
'est habere nos conjuges, et justi videri
'vultis, ite ad parentes vestros, et facul-
'tatum sortiti partem, postea redite; ut
'deinde semoti ab illis habitemus.'

115. Id approbantes juvenes ita fecere, et sortiendo accepta facultatum quae ipsis contingebat portione, rursus ad Amazones redierunt. Ad quos illae, 'Duplex, inquiunt, metus et terror nos tenet in hoc loco habitandi: partim quod nos parentibus vestris vos privavimus:

‘ γὰρ τὰ αὐτὰ νόμαια ἡμῖν τε κἀκείνῃσι ‘ ἐστι. ἡμεῖς μὲν τοξεύομέν τε καὶ ἀκοντί‘ ζομεν, καὶ ἱππαζόμεθα, ἔργα δὲ γυναι‘ κήϊα οὐκ ἐμάθομεν· αἱ δὲ ὑμέτεραι γυ‘ ναῖκες, τούτων μὲν οὐδὲν τῶν ἡμεῖς κατε‘ λέξαμεν ποιεῦσι, ἔργα δὲ γυναικήϊα ἐρ‘ γάζονται, μένουσαι ἐν τῇσι ἁμάξῃσι, οὔτ’ ‘ ἐπὶ θήρην ἰοῦσαι, οὔτε ἄλλῃ οὐδαμῇ· οὐκ ‘ ἂν ὦν δυναίμεθα ἐκείνῃσι συμφέρεσθαι. ‘ ἀλλ’ εἰ βούλεσθε γυναῖκας ἔχειν ἡμέας, ‘ καὶ δοκέειν εἶναι δίκαιοι, ἐλθόντες παρὰ ‘ τοὺς τοκέας, ἀπολάχετε τῶν κτημάτων ‘ τὸ μέρος· καὶ ἔπειτα ἐλθόντες, οἰκέωμεν ‘ ἐπ’ ἡμέων αὐτέων.’

ριε΄. Ἐπείθοντο καὶ ἐποίησαν ταῦτα οἱ νεηνίσκοι. ἐπεί τε δὲ ἀπολαχόντες τῶν κτημάτων τὸ ἐπιβάλλον, ἦλθον ὀπίσω παρὰ τὰς Ἀμαζόνας, ἔλεξαν αἱ γυναῖκες πρὸς αὐτοὺς τάδε, ‘ Ἡμέας ἔχει φόβος ‘ τε καὶ δέος ὅκως χρὴ οἰκέειν ἐν τῷδε τῷ ‘ χώρῳ· τοῦτο μὲν, ὑμέας ἀποστερησάσας

' πατέρων, τῦτο δὲ, τὴν γῆν τὴν ὑμετέ-
' ρην δηλησαμένας πολλά. ἀλλ' ἐπεί τε
' ἀξιῦτε ἡμέας γυναῖκας ἔχειν, τάδε ποι-
' έετε ἅμα ἡμῖν, φέρετε, ἐξαναςέωμεν ἐκ
' τῆς γῆς τῆσδε, καὶ περήσαντες Τάναϊν πο-
' ταμὸν οἰκέωμεν.'

ρις'. Ἐπείθοντο καὶ ταῦτα οἱ νεηνίσκοι. διαβάντες δὲ τὸν Τάναϊν, ὡδοιπόρεον πρὸς ἥλιον ἀνίσχοντα, τριῶν μὲν ἡμερέων ἀπὸ τῦ Τανάϊδος ὁδὸν, τριῶν δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος, πρὸς βορέην ἄνεμον. ἀπικόμενοι δὲ ἐς τοῦτον τὸν χῶρον ἐν τῷ νῦν κατοίκηνται, οἴκησαν τῦτον, καὶ διαίτῃ ἀπὸ τύτυ χρέωνται τῇ παλαιῇ τῶν Σαυροματέων αἱ γυναῖκες, καὶ ἐπὶ θήρην ἐπὶ ἵππων ἐκφοιτῶσι ἅμα τοῖσι ἀνδράσι, καὶ χωρὶς τῶν ἀνδρῶν· καὶ ἐς πόλεμον φοιτῶσι, καὶ ςολὴν τὴν αὐτὴν τοῖσι ἀνδράσι φορέυσι.

ριζ'. Φωνῇ δὲ οἱ Σαυρομάται νομίζυσι Σκυθικῇ, σολοικίζοντες αὐτῇ ἀπὸ τῦ ἀρ-

'partim, quod terram veſtram magnope-
're vaſtavimus. Sed quoniam dignamini
'nos habere uxores, hoc una nobiſcum
'agatis. Agedum proficiſcamur e regio-
'ne hac, et Tanai fluvio tranſmiſſo ha-
'bitemus.'

116. Huic quoque rei obtemperavere juvenes; trajectoque Tanai, et orientem verſus trium quidem dierum itinere confecto a Tanai, trium quoque a Maeotide palude ad aquilonem. Pervenientes vero ad eum locum quem nunc incolunt, ibi ſubſederunt, et inde priſca conſuetudine vivendi feminae Sauromatarum utuntur. nam ad venationem una cum viris ac ſine viris, equis inſidentes, et ad proelium proficiſcuntur, eandemque viris veſtem gerunt.

117. Sauromatae adſueverunt linguae Scythicae ſoloecizantes in ea jam an-

tiquitus, quod eam non probe didicerint Amazones. Quod ad conjugia pertinet, ita ab eis est institutum: Nulla virgo nubit, priusquam aliquem hostium interemerit: ideoque nonnullae earum decedunt jam vetulae, antequam nubant, quod legi satisfacere nequeant.

118. Ad harum igitur quas dixi gentium coactos reges nuncii Scytharum quum pervenissent, certiores eos fecerunt, Persam, ubi omnia, quae sunt in altera continente, in suam ditionem redegit, cervice Bospori ponte juncta, in hanc trajecisse continentem: subactisque illic Thracibus, fluvium Istrum ponte junxisse, animo haec omnia in suam redigendi potestatem. ‘ Proinde vos nolite ullo pac‘to ex medio sedentes sinere ad perni‘ciem nos devenire; sed idem sentientes, ‘obviam eamus invadenti: quod nisi fa‘citis, nos in ultimum discrimen adducti,

χαίϐ, ἐπεὶ ϐ χρηςῶς ἐξέμαθον αὐτὴν αἱ Ἀμαζόνες. τὰ περὶ γάμων δὲ ὧδέ σφι διακέεται· ϐ γαμέεται παρθένος ϐδεμίη, πρὶν ἂν τῶν πολεμίων ἄνδρα ἀποκτείνῃ. αἱ δέ τινες αὐτέων καὶ τελευτῶσι γηραιαὶ πρὶν γήμασθαι, ϐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι.

ριή. Ἐπὶ τϐτων ὦν τῶν καταλεχθέντων ἐθνέων τϐς βασιλέας ἁλισμένϐς ἀπικόμενοι τῶν Σκυθέων οἱ ἄγγελοι, ἔλεγον ἐκδιδάσκοντες ὡς ὁ Πέρσης, ἐπειδή οἱ τὰ ἐν τῇ ἠπείρῳ τῇ ἑτέρῃ πάντα κατέστραπται, γέφυραν ζεύξας ἐπὶ τῷ αὐχένι τϐ Βοσπόρϐ, διαβέβηκε ἐς τήνδε τὴν ἤπειρον. διαβὰς δὲ, καὶ καταστρεψάμενος Θρήϊκας, γεφυροῖ ποταμὸν Ἴστρον, βϐλόμενος καὶ τάδε πάντα ὑπ' ἑωϋτῷ ποιήσασθαι. 'Ὑμεῖς ὦν μηδενὶ τρόπῳ ἐκ τϐ μέσου κατήμενοι περιΐδητε ἡμέας διαφθαρέντας· ἀλλὰ τὠϋτὸ νομίσαντες, ἀντιάζομεν τὸν ἐπιόντα. ϐκ ὦν ποιήσετε ταῦτα; ἡμεῖς μὲν πιεζό-

‘ μένοι, ἢ ἐκλείψαμεν τὴν χώρην, ἢ μέ-
‘ νοντες, ὁμολογίῃ χρησόμεθα. τί γὰρ πά-
‘ θωμεν, μὴ βουλομένων ὑμέων τιμωρέειν; ὑ-
‘ μῖν δὲ οὐδὲν ἐπὶ τούτῳ ἔσται ἐλαφρότερον.
‘ ἥκει γὰρ ὁ Πέρσης οὐδέν τι μᾶλλον ἐπ’
‘ ἡμέας ἢ οὐ καὶ [a] ἐπὶ ὑμέας· οὐδέ οἱ κατα-
‘ χρήσει ἡμέας καταστρεψαμένῳ, ὑμέων
‘ ἀπέχεσθαι. μέγα δὲ ὑμῖν λόγων τῶνδε
‘ μαρτύριον ἐρέομεν. εἰ γὰρ ἐπ’ ἡμέας μού-
‘ νους ἐστρατηλάτεε ὁ Πέρσης, τίσασθαι
‘ τῆς πρόσθε δουλοσύνης βουλόμενος, χρῆν
‘ αὐτὸν πάντων τῶν ἄλλων ἀπεχόμενον,
‘ οὕτω ἰέναι ἐπὶ τὴν ἡμετέρην· καὶ ἂν ἐδή-
‘ λου πᾶσι ὡς ἐπὶ Σκύθας ἐλαύνει, καὶ οὐκ
‘ ἐπὶ τοὺς ἄλλους. νῦν δὲ ἐπεί τε τάχιστα
‘ διέβη τήνδε τὴν ἤπειρον, τοὺς αἰεὶ ἐμπο-
‘ δὼν γινομένους ἡμεροῦται πάντας· τούς τε
‘ δὴ ἄλλους ἔχει ὑπ’ ἑωϋτῷ Θρήϊκας, καὶ
‘ δὴ καὶ τοὺς ἡμῖν ἐόντας πλησιοχώρους
‘ Γέτας.’

ριθ΄. Ταῦτα Σκυθέων ἐπαγγελλομέ-

[a] ἢ καί.

'aut regionem deseremus, aut manentes 'conditiones inibimus. quid enim cla- 'dem subeamus, nolentibus vobis auxi- 'lio esse? Quamquam non commodius 'post id agetur vobiscum; venit enim Per- 'sa nequaquam magis adversus nos, quam 'non etiam adversus vos: neque, nos 'subegisse contentus, a vobis abstinebit. 'Cujus rei magnum hinc accipite docu- 'mentum; quod si nobis solis inferret 'ille bellum, animo superioris servitutis 'ulciscendae, oportebat a ceteris homini- 'bus abstinentem sic in nostram tendere 'regionem. Ostenderet enim omnibus se 'adversus Scythas, et non adversus alios 'ire: at nunc, simulatque trajecit in hanc 'continentem; ut quisque ipsi occurrit, 'pacat: ceteros, veluti Thraces et nobis 'confines Getas, suo subjectos imperio 'habet.'

119. Haec quum Scythae denunci-

assent, ii qui e nationibus venerant reges deliberabant, sed discordes eorum erant sententiae. Nam Gelonus quidem et Budinus et Sauromates concordes receperunt se Scythis auxilio futuros: Agathyrsis autem et Neurus et Androphagus et Melanchlaenorum Taurorumque reges ita Scythis responderunt: 'Si vos in injuria Persis facienda ac bello inferendo 'priores non fuissetis, recte videremini 'precari quae precamini; et nos vestris 'precibus morem gerentes, idem vobis 'ageremus. Nunc autem vos sine nobis 'illorum terram ingressi, imperitastis Persis, quamdiu deus vobis indulsit: illi itidem, quandoquidem eos idem deus excitat, vicem vobis reddunt. Nos neque 'tunc quicquam intulimus injuriae his 'viris, neque nunc conabimur priores infestare. Quod si hic nostram regionem 'invaserit, et prior injuriam fecerit, nos

νων, ἐβουλεύοντο. οἱ βασιλῆες οἱ ἀπὸ τῶν ἐθνέων ἥκοντες. καί σφεων ἐχίσθησαν αἱ γνῶμαι· ὁ μὲν Γελωνὸς [b], καὶ ὁ Βȣδῖνος, καὶ ὁ Σαυρομάτης, κατὰ τὠυτὸ γενόμενοι, ὑπεδέκοντο Σκύθῃσι τιμωρήσειν· ὁ δὲ Αγάθυρσος, καὶ Νευρὸς, καὶ Ανδροφάγος, καὶ οἱ τῶν Μελαγχλαίνων, καὶ Ταύρων, τάδε Σκύθῃσι ὑπεκρίναντο; ‘ Εἰ μὲν μὴ ὑμεῖς ἔατε οἱ ‘ πρότερον ἀδικήσαντες Πέρσας, καὶ ἄρξαν-‘ τες πολέμȣ, τȣ́των δεόμενοι τῶν νῦν δέ-‘ εσθε, λέγειν τε ἂν ἐφαίνεσθε ἡμῖν ὀρθά; ‘ καὶ ἡμεῖς ὑπακούσαντες, τὠυτὸ ἂν ὑμῖν ‘ ἐπρήσσομεν: νῦν δὲ ὑμεῖς τε ἐς τὴν ἐ-‘ κείνων ἐσβαλόντες γῆν, ἄνευ ἡμέων, ἐπε-‘ κρατέετε Περσέων, ὅσον χρόνον ὑμῖν ὁ ‘ θεὸς παρεδίδȣ· καὶ ἐκεῖνοι, ἐπεί σφεας ‘ ὠυτὸς θεὸς ἐγείρει, τὴν ὁμοίην ὑμῖν ἀ-‘ ποδιδȣ̃σι. ἡμεῖς ȣ̓́τέ τι [c] τότε ἠδικήσα-‘ μεν τȣ̀ς ἄνδρας τȣ́τȣς ȣ̓δὲν, ȣ̓́τε νῦν πρό-‘ τεροι πειρησόμεθα ἀδικέειν: ἢν μέντοι ‘ ἐπίῃ, καὶ ἐπὶ τὴν ἡμετέρην ἄρξῃ τε ἀδικέ-

[b] ὁ μὲν γὰρ Γελωνὸς. [c] ἡμεῖς δὲ ȣ̓́τέ τι.

‘ ων [d], καὶ ἡμεῖς οὐ πεισόμεθα. μέχρι δὲ
‘ τοῦτο ἴδωμεν, μενέομεν παρ᾽ ἡμῖν αὐτοῖ-
‘ σι. ἥκειν γὰρ δοκέομεν οὐκ ἐπ᾽ ἡμέας Πέρ-
‘ σας, ἀλλ᾽ ἐπὶ τοὺς αἰτίους τῆς ἀδικίης γε-
‘ νομένους.’

ρκ΄. Ταῦτα ὡς ἀπενειχθέντα ἐπύθοντο οἱ Σκύθαι, ἐβουλεύοντο ἰθυμαχίην μὲν μηδεμίην ποιέεσθαι ἐκ τοῦ ἐμφανέος, ὅτι δή σφι οὗτοί γε σύμμαχοι οὐ προσεγένοντο· ὑπεξιόντες δὲ, καὶ ὑπεξελαύνοντες, τὰ φρέατα τὰ παρεξίοιεν αὐτοὶ, καὶ τὰς κρήνας συγχοῦν, τὴν ποίην τε ἐκ τῆς γῆς ἐκτρίβειν, διχοῦ [e] σφέας διελόντες· καὶ πρὸς μὲν τὴν μίην τῶν μοιρέων, τῆς ἐβασίλευε Σκώπασις, προσχωρέειν Σαυρομάτας. τούτους μὲν δὴ ὑπάγειν, ἢν ἐπὶ τοῦτο τράπηται ὁ Πέρσης, ἰθὺ Ταναΐδος ποταμοῦ παρὰ τὴν Μαιῆτιν λίμνην ὑποφεύγοντας· ἀπελαύνοντός τε τοῦ Πέρσεω, ἐπιόντας διώκειν. αὕτη μέν σφι μίη ἦν μοίρη τῆς βασιληΐης, τεταγμένη ταύτην τὴν ὁδὸν ἥπερ εἴρηται.

[d] ἄρξωνται ἀδικίων. [e] διχῇ.

'haudquaquam tolerabimus. id donec 'cernamus, apud nosmet ipsos manebi-'mus. neque enim in nos venire Persas 'opinamur, sed in eos qui fuerunt auto-'res injuriae.'

120. Scythae, ubi haec relata audiere, statuerunt nullam sibi pugnam recta atque ex aperto conferendam, quando ipsis isti ad societatem non accedebant. Itaque subducentes se ac longius progressi, puteos quos ipsi praeterirent, ac fontes obstruunt, bifariamque divisi herbam terrestrem atterunt. Et ad unam e partibus, ubi regnabat Scopasis, jubent Sauromatas pergere; qui se subducerent, si eo Persa declinaret, suffugientes recta ad flumen Tanain, secundum Maeotin: iidem Persam abscedentem invadendo persequerentur. Haec erat una pars regni ordinata ad hanc viam, quemadmodum dictum est.

Reliquas duas regiorum, et magnam, cui imperabat Indathyrſus, et tertiam in qua regnabat Taxacis, in unum coeuntes, accedentibus Gelonis atque Budinis, jubent hos uno die praegreſſos exercitum Perſarum, clam progredi, ſubeunteſque et facientes ea quae decreviſſent: et ante omnia hoſtem ſubducere recta in agros illorum qui ſocietatem ipſorum abnuiſſent, ut eos etiam irritarent; et, ſi minus volentes bellum adverſus Perſas ſuſciperent, at invitos redderent iſtis hoſtes. deinde in ſuam terram reflectere, et aggredi, ſi quid ipſis conſultantibus videretur.

121. Haec ubi decrevere Scythae, copiis Darii ex occulto occurrebant, praeſtantiſſimis equitum praecurſoribus miſſis: plauſtra autem in quibus eorum filii uxoreſque omnes degunt, una cum pecoribus, praeter quae ad victum ſuppetebant, tot relinquentes, reliqua cum plau-

τὰς δὲ δύο τῶν βασιληΐων, τήν τε μεγάλην, τῆς ἦρχε Ἰνδάθυρσος, καὶ τὴν τρίτην τῆς ἐβασίλευε Τάξακις, συνελθούσας ἐς τὠυτὸ, καὶ Γελωνῶν τε καὶ Βουδίνων προσγενομένων, ἡμέρης καὶ τούτους ὁδῷ προέχοντας τῶν Περσέων, ὑπεξάγειν, ὑπιόντας τε καὶ ποιεῦντας τὰ βεβουλευμένα. πρῶτα μέν νυν ὑπάγειν σφέας ἰθὺ τῶν χωρέων τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, ἵνα καὶ τούτους ἐκπολεμώσωσι· εἰ δὲ μὴ ἑκόντες γε ὑπέδυσαν τὸν πόλεμον τὸν πρὸς Πέρσας, ἀλλ' ἀέκοντας ἐκπολεμῶσαι. μετὰ δὲ τοῦτο, ὑποστρέφειν ἐς τὴν σφετέρην, καὶ ἐπιχειρέειν, ἢν δὴ βουλευομένοισι δοκέῃ.

ρκα'. Ταῦτα οἱ Σκύθαι βουλευσάμενοι, ὑπηντίαζον τὴν Δαρείου στρατιὴν, προδρόμους ἀποστείλαντες τῶν ἱππέων τοὺς ἀρίστους. τὰς δὲ ἁμάξας ἐν τῇσί σφι ἐδιαιτᾶτο[f] τὰ τέκνα τε καὶ αἱ γυναῖκες πᾶσαι καὶ τὰ πρόβατα, πλὴν[g] ὅσα σφι ἐς φορβὴν ἱκανὰ ἦν, τοσαῦτα ὑπολιπόμενοι[h], τὰ

[f] διαιτᾶτο. [g] πρόβατα πάντα, πλὴν. [h] ἀπολιπόμενοι.

ἄλλα ἅμα τῇσι ἁμάξῃσι προέπεμψαν, ἐντειλάμενοι αἰεὶ τὸ πρὸς βορέω ἐλαύνειν.

ρκβ′. Ταῦτα μὲν δὴ προεκομίζετο [a]. τῶν δὲ Σκυθέων οἱ πρόδρομοι ὡς εὗρον τοὺς Πέρσας ὅσον τε τριῶν ἡμερέων ὁδὸν ἀπέχοντας ἀπὸ Ἴστρου, οὗτοι μὲν τούτους εὑρόντες ἡμέρης ὁδῷ προέχοντας, ἐστρατοπεδεύοντο, τὰ ἐκ τῆς γῆς φυόμενα λεαίνοντες. οἱ δὲ Πέρσαι ὡς εἶδον ἐπιφανεῖσαν τῶν Σκυθέων τὴν ἵππον, ἐπήϊσαν κατὰ στίβον αἰεὶ ὑπαγόντων· καὶ ἔπειτα (πρὸς γὰρ τὴν μίην τῶν μοιρέων ἴθυσαν οἱ Πέρσαι) ἐδίωκον πρὸς ἠῶ τε καὶ τοῦ Τανάϊδος. διαβάντων δὲ τούτων τὸν Τάναϊν ποταμὸν, οἱ Πέρσαι ἐπιδιαβάντες ἐδίωκον· ἐς ὃ τῶν Σαυροματέων τὴν χώρην διεξελθόντες, ἀπίκοντο ἐς τὴν τῶν Βουδίνων.

ρκγ′. Ὅσον μὲν δὴ χρόνον οἱ Πέρσαι ἤϊσαν διὰ τῆς Σκυθικῆς καὶ τῆς Σαυρομάτιδος χώρης, οἱ δὲ εἶχον οὐδὲν σίνεσθαι, ἅτε τῆς χώρης ἐούσης χέρσου· ἐπεί τε δὲ ἐς

[a] προεξεκομίζετο.

ftris praemiserunt, dato suis mandato, ut semper aquilonem versus tenderent.

122. Haec quidem praevehebantur. Scytharum vero praecursores, posteaquam compererunt Persas ab Istro trium fere dierum et ante se unius diei itinere abesse, positis castris, germina terrae vastant. Persae, ubi Scytharum equitatus in conspectum se dedit, incesserunt per vestigia se semper subducentium: et deinde (nam ad unam partium recta tetenderunt Persae) auroram versus et Tanain, persecuti sunt. Quibus Tanain fluvium trajicientibus, Persae itidem trajecto eo insequuntur, donec peragrata Sauromatarum plaga, pervenirent in Budinicam.

123. Ceterum quamdiu Persae fuerunt in Scythica ac Sauromatide regione, nihil eis detrimenti inferre potuerunt, quippe quum regio foret vasta: ubi vero

Budinicam ingressi sunt, ibi obvii ligneo castello a Budinis deserto et omnibus rebus vacuo, id incenderunt. His actis, ipso vestigio ire porro tendunt, dum eam regionem pervagati, in solitudinem devenerunt. Haec solitudo a nemine hominum colitur, posita supra Budinorum regionem, septem dierum itineris magnitudine: ultra quam Thyssagetae incolunt, ex quibus quatuor ingentes amnes per Maeotas effluunt in paludem nomine Maeotin: quibus haec sunt indita nomina, Lycus, Oarus, Tanais, Syrgis.

124. Darius, ut ad solitudinem pervenit, cursu omisso copias super fluvium Oarum locavit. Post haec, octo castella eaque ingentia condidit, pari inter se spatio distantia, sexaginta fere stadiorum; quorum ad meam usque memoriam adhuc ruinae extabant. Dum in his Darius

τὴν τῶν Βυδίνων χώρην εἰσέβαλον· ἐνθαῦτα δὴ ἐντυχόντες τῷ ξυλίνῳ τείχεϊ, ἐκλελοιπότων τῶν Βυδίνων, καὶ κεκενωμένου τοῦ τείχεος πάντων, ἐνέπρησαν αὐτό. τοῦτο δὲ ποιήσαντες, εἵποντο αἰεὶ τὸ πρόσω κατὰ στίβον· ἐς ὃ διεξελθόντες ταύτην, ἐς τὴν ἔρημον ἀπίκοντο. ἡ δὲ ἔρημος αὕτη ὑπὸ οὐδαμῶν νέμεται ἀνδρῶν, κέεται δὲ ὑπὲρ τῆς Βουδίνων χώρης, ἐοῦσα πλῆθος ἑπτὰ ἡμερέων ὁδοῦ. ὑπὲρ δὲ τῆς ἐρήμου Θυσσαγέται οἰκέουσι. ποταμοὶ δὲ ἐξ αὐτέων τέσσερες μεγάλοι ῥέοντες διὰ Μαιητέων ἐκδιδοῦσι ἐς τὴν λίμνην τὴν καλεομένην Μαιῆτιν· τοῖσι οὐνόματα κέεται τάδε, Λύκος, Οαρος, Τάναϊς, Σύργις.

ρκδ΄. Επεὶ ὧν ὁ Δαρεῖος ἦλθε ἐς τὴν ἔρημον, παυσαμένου [b] τοῦ δρόμου, ἵδρυσε τὴν στρατιὴν ἐπὶ ποταμῷ Οάρῳ. τοῦτο δὲ ποιήσας, ὀκτὼ τείχεα ἐτείχεε μεγάλα, ἴσον ἀπ᾽ ἀλλήλων ἀπέχοντα, σταδίους ὡς ἑξήκοντα μάλιστά κῃ· τῶν ἔτι ἐς ἐμὲ τὰ

[b] παυσάμενος.

ἐρείπια σῶα ἦν. ἐν ᾧ δὲ οὗτος πρὸς ταῦτα ἐτράπετο, οἱ διωκόμενοι Σκύθαι περιελθόντες τὰ κατύπερθε, ὑπέστρεφον ἐς τὴν Σκυθικήν. ἀφανισθέντων δὲ τούτων τοπαράπαν, ὡς οὐκέτι ἐφαντάζοντό σφι, οὕτω δὴ ὁ Δαρεῖος τείχεα μὲν ἐκεῖνα ἡμίεργα μετῆκε· αὐτὸς δὲ ὑποστρέψας ἤιε πρὸς ἑσπέρην· δοκέων τούτους τε πάντας τοὺς Σκύθας εἶναι, καὶ πρὸς ἑσπέρην σφέας φεύγειν. ἐλαύνων δὲ τὴν ταχίστην τὸν στρατὸν, ὡς ἐς [c] τὴν Σκυθικὴν ἀπίκετο, ἐνέκυρσε [d] ἀμφοτέρῃσι τῇσι μοίρῃσι τῶν Σκυθέων. ἐντυχὼν δὲ, ἐδίωκε ὑπεκφέροντας ἡμέρης ὁδῷ.

ρκέ. Καὶ (οὐ γὰρ ἀνίεε ἐπιὼν ὁ Δαρεῖος) οἱ Σκύθαι κατὰ τὰ βεβουλευμένα ὑπέφευγον ἐς τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, πρώτην δὲ ἐς τῶν Μελαγχλαίνων τὴν γῆν. ὡς δὲ ἐσβαλόντες τούτους ἐτάραξαν οἵ τε Σκύθαι καὶ οἱ Πέρσαι, κατηγέοντο οἱ Σκύθαι ἐς τῶν Ἀνδροφάγων

[c] στρατὸν ἐς. [d] ἀπίκετο ἐς ὃ ἐνέκυρσε.

occupatur, interim Scythae (quos ille insequebatur) circumitis locis superioribus, reverterunt in Scythiam. Quibus e conspectu omnino semotis, nec se amplius exhibentibus, ita Darius castellis illic relictis dimidiatis, convertit iter ad occasum, ratus et hos esse cunctos Scythas, et ad occasum fugere. Proinde cum exercitu maturans ire, in Scythiam devenit; ubi in duas Scytharum incidit partes. Hos nactus insequebatur unius diei spatio subterfugientes.

125. Et Scythae (non enim intermittens incedebat Darius) subterfugiebant ex consulto in terram eorum qui societatem ipsorum respuerant, et primum in Melanchlaenorum. Quos quum perturbassent tam Persae quam Scythae eorum terram ingressi, Scythae in loca Androphagorum Persas adducunt. Perturbatis

autem et Androphagis, hostem in Neuridem ducunt. Neuris quoque consternatis, tendunt subterfugiendo ire ad Agathyrsos. Sed Agathyrsi cernentes fugari finitimos a Scythis ac perturbari, priusquam a Scythis ager ipsorum invaderetur, misso caduceatore, Scythis ingressum suorum finium prohibent, praedicentes, si conarentur invadere agrum suum, cum eis primum se proelium commissuros. Hoc interminati Agathyrsi, in fines procurrunt, animo arcendi ingredientes. At Melanchlaeni et Androphagi et Neuri, invadentibus Persis una cum Scythis, neque virium neque minarum memores, sed timore perculsi, fugam capesserunt aquilonem versus in solitudinem. Scythae partim ad Agathyrsos, jam non recusantes societatem, se conferebant, partim e Neuride regione in suam Persis praeibant,

τὺς χώρυς· ταραχθέντων δὲ καὶ τούτων, ὑπῆγον ἐπὶ τὴν Νευρίδα. ταρασσομένων δὲ καὶ τούτων, ἤισαν ὑποφεύγοντες οἱ Σκύθαι ἐς τὺς Ἀγαθύρσυς. Ἀγάθυρσοι δὲ ὁρέοντες καὶ τὺς ὁμύρυς φεύγοντας ὑπὸ Σκυθέων, καὶ τεταραγμένυς, πρὶν ἤ σφι ἐμβαλέειν τὺς Σκύθας, πέμψαντες κήρυκα, ἀπηγόρευον Σκύθησι μὴ ἐπιβαίνειν τῶν σφετέρων οὔρων· προλέγοντες ὡς εἰ πειρήσονται ἐσβαλόντες, σφίσι πρῶτα διαμαχήσονται. Ἀγάθυρσοι μὲν προείπαντες ταῦτα, ἐβοήθεον ἐπὶ τὺς οὔρους, ἐν νῷ ἔχοντες ἐρύκειν τὺς ἐπιόντας. Μελάγχλαινοι δὲ καὶ Ἀνδροφάγοι καὶ Νευροὶ, ἐσβαλόντων τῶν Περσέων ἅμα Σκύθησι, ὔτε πρὸς ἀλκὴν ἐτράποντο· ἐπιλαθόμενοί τε τῆς ἀπειλῆς, ἔφευγον αἰεὶ τὸ πρὸς βορέω ἐς τὴν ἔρημον τεταραγμένοι. οἱ δὲ Σκύθαι ἐς μὲν τοὺς Ἀγαθύρσυς ὐκέτι ἀπείπαντας ἀπικνέονται [e]· οἱ δὲ ἐκ τῆς Νευρίδος χώρης ἐς τὴν σφετέρην κατηγέοντο τοῖσι Πέρσῃσι.

[e] ἀπικνέοντο.

ρκϛʹ. Ὡς δὲ πολλὸν τοῦτο ἐγένετο, καὶ οὐκ ἐπαύετο, πέμψας Δαρεῖος ἱππέα παρὰ τὸν Σκυθέων βασιλῆα Ἰνδάθυρσον, λέγει τάδε [a], ‘ Δαιμόνιε ἀνδρῶν, τί φεύγεις ‘ αἰεὶ, ἐξόν τοι τῶνδε τὰ ἕτερα ποιέειν; ‘ εἰ μὲν γὰρ ἀξιόχρεως δοκέεις εἶναι σεω- ‘ υτῷ, τοῖσι ἐμοῖσι πρήγμασι ἀντιωθῆναι, ‘ σὺ δὲ στῆθι, καὶ μάχεο· εἰ δὲ μὴ, καὶ οὕτω ‘ παυσάμενος τοῦ δρόμου, δεσπότῃ τῷ σῷ ‘ δῶρα φέρων γῆν τε καὶ ὕδωρ, ἐλθὲ ἐς ‘ λόγους.’

ρκζʹ. Πρὸς ταῦτα ὁ Σκυθέων βασιλεὺς Ἰνδάθυρσος ἔλεγε τάδε, ‘ Οὕτω τὸ ἐμὸν ‘ ἔχει ὦ Πέρσαι [b]· ἐγὼ οὐδένα κω ἀνθρώ- ‘ πων δείσας ἔφυγον, οὔτε πρότερον, οὔτε ‘ νῦν σε φεύγω· οὐδέ τι νεώτερόν εἰμι ποι- ‘ ήσας νῦν ἢ καὶ ἐν εἰρήνῃ ἐώθεα [c] ποιέειν. ‘ ὅτι δὲ οὐκ αὐτίκα μάχομαί τοι, ἐγὼ καὶ ‘ τοῦτο σημανέω· ἡμῖν οὔτε ἄστεα, οὔτε γῆ ‘ πεφυτευμένη ἐστὶ, τῶν πέρι δείσαντες ‘ μὴ ἁλώῃ ἢ καρῇ, ταχύτερον [d] συμμίσ-

[a] ἔλεγε τάδε. [b] Πέρσα. [c] ἔωθα. [d] τάχιον.

126. Id quum diu factitaretur, neque desisteretur, Darius ad Indathyrsum Scytharum regem misso equite, inquit, 'Virorum infelicissime, quid assidue fugam facis, quum liceat tibi horum facere alterutrum? si tibi videris idoneus 'ad resistendum negotiis meis, siste cursum, ac proeliare: sin agnoscis te imparem esse, sic quoque siste cursum, et hero tuo munera offerens terram atque 'aquam, in colloquium veni.'

127. Ad haec Scytharum rex Indathyrsus ita respondit; 'Sic res meae habent, ô Persa, ut neque ullum mortalium ego metuens ante fugerim, neque 'nunc fugiam te, neque quicquam feci 'diversum nunc atque in pace facere consueveram. Cur autem non protinus tecum ineam proelium, id ego etiam declarabo. Nobis neque oppida sunt neque agri culti, quos invadi aut tonderi

'metuentes, propperemus vobiscum conferre pugnam: ad quam si opus est continuo devenire, sunt paterna sepulcra, 'quae vos quum nacti fueritis, agedum 'tentate labefactare: et tunc intelligetis, 'pugnaturi vobiscum simus pro sepulcris, 'necne: prius autem (nisi nos ratio traxerit) tecum proelium non conseremus. 'Hactenus, quod ad proelium pertinet, 'dictum sit. heros autem meos ego solos 'arbitror Jovem progenitorem meum, et 'Histiam Scytharum reginam. Tibi autem pro donis terrae et aquae, mittam 'quae decet ad te venire dona: pro eo 'quod herum te meum esse dixisti, jubeo 'te flere.' Hoc a Scythis responsum est: quod caduceator reversus Dario renunciavit.

128. Scytharum reges, audito nomine servitutis, ira perfusi, partem illam quae cum Sauromatis ordinata erat, cui

' γοιμεν ἂν ἐς μάχην ὑμῖν. εἰ δὲ δέοι πάν-
' τως ἐς τοῦτο κατὰ τάχος ἀπικνέεσθαι,
' τυγχάνουσι ἡμῖν ἐόντες τάφοι πατρώϊοι,
' φέρετε, τούτους ἀνευρόντες, συγχέειν πει-
' ρᾶσθε αὐτούς· καὶ γνώσεσθε τότε εἴτε
' ὑμῖν μαχησόμεθα περὶ τῶν τάφων, εἴ-
' τε καὶ οὐ μαχησόμεθα. πρότερον δὲ ἢν μὴ
' ἡμέας λόγος αἱρῇ, οὐ συμμίξομέν τοι.
' ἀμφὶ μὲν μάχῃ τοσαῦτα εἰρήσθω. δε-
' σπότας δὲ ἐμοὺς, Δία τε ἐγὼ νομίζω τὸν
' ἐμὸν πρόγονον, καὶ Ἱστίην τὴν Σκυθέων
' βασίλειαν, μούνους εἶναι. σοὶ δὲ ἀντὶ μὲν
' δώρων γῆς τε καὶ ὕδατος, δῶρα πέμψω
' τοιαῦτα οἷά σοι πρέπει ἐλθεῖν· ἀντὶ δὲ
' τοῦ ὅτι δεσπότης ἔφησας εἶναι ἐμὸς,
' κλαίειν λέγω.' τοῦτό ἐστι ἡ ἀπὸ Σκυθέων
ῥῆσις. ὁ μὲν δὴ κῆρυξ οἰχώκεε ἀγγελέων
ταῦτα Δαρείῳ.

ρκη'. Οἱ δὲ Σκυθέων βασιλῆες, ἀκούσαντες
τῆς δουλοσύνης τὸ οὔνομα, ὀργῆς ἐπλήσθη-
σαν. τὴν μὲν δὴ μετὰ Σαυρομάτέων μοίρην

ταχθεῖσαν, τῆς ἦρχε Σκώπασις, πέμπουσι, Ἴωσι κελεύοντες ἐς λόγους ἀπικέσθαι τούτοισι οἳ τὸν Ἴστρον ἐζευγμένον ἐφρούρεον. αὐτῶν δὲ τοῖσι ὑπολειπομένοισι ἔδοξε πλανᾶν μὲν μηκέτι Πέρσας, σῖτα δὲ ἑκάστοτε ἀναιρεομένοισι ἐπιτίθεσθαι. νωμῶντες ὦν σῖτα ἀναιρεομένους τοὺς Δαρείου, ἐποίευν τὰ βεβουλευμένα. ἡ μὲν δὴ ἵππος τὴν ἵππον αἰεὶ τρέπεσκε ἡ τῶν Σκυθέων· οἱ δὲ τῶν Περσέων ἱππόται φεύγοντες ἐσέπιπτον ἐς τὸν πεζόν. ὁ δὲ πεζὸς ἂν ἐπεκούρεε °. οἱ δὲ Σκύθαι ἐσαράξαντες τὴν ἵππον, ὑπέστρεφον, τὸν πεζὸν φοβεόμενοι. ἐποιέοντο δὲ καὶ τὰς νύκτας παραπλησίας προσβολὰς οἱ Σκύθαι.

ρκθ΄. Τὸ δὲ τοῖσι Πέρσῃσί τε ἦν σύμμαχον καὶ τοῖσι Σκύθῃσι ἀντίξοον, ἐπιτιθεμένοισι τῷ Δαρείου στρατοπέδῳ, θῶϋμα μέγιστον ἐρέω· τῶν τε ὄνων ἡ φωνὴ, καὶ τῶν ἡμιόνων τὸ εἶδος· οὔτε γὰρ ὄνον οὔτε ἡμίονον γῆ ἡ Σκυθικὴ φέρει, ὡς καὶ πρότερόν μοι δεδήλωται· οὐδὲ ἔστι ἐν τῇ Σκυθικῇ πά-

° πεζὸς αἰεὶ ἐπεκούρεε.

praeerat Scopasis, mittunt ad colloquendum cum Ionibus qui Istrum ponte junctum asservabant. At ipsorum illis, qui relinquebantur, visum fuit non amplius errare Persas, sed assidue commeatu erepto insidias tendere. Distributis igitur illis, qui copiis Darii frumenta auferrent, quae decreta erant exequebantur. Enimvero equitatus Scytharum semper in fugam vertebat equitatum, sed Persarum equites fugientes incidendo in peditatum, ab eo defensabantur. Ita Scythae summoto equitatu hostili, tamen metu peditum recedebant, et nihilominus noctibus quoque tales incursiones faciebant.

129. Ceterum quod Persis auxilio erat, Scythis vero infestum, aggressis castra Darii, referam: res valde admirabilis, asinorum vox ac mulorum species. Nam (ut superius a me demonstratum est) nullus in terra Scythica neque asinus neque

mulus gignitur, ac neuter omnino visitur, propter frigora. Itaque rudentes asini perturbabant Scytharum equos: et quum Scythae saepenumero Persas adorirentur, interim equi audita asinorum voce consternati avertebantur, arrectis auribus stupefacti, utpote insolentia tum vocis quam prius non audissent, tum formae quam nunquam inspexissent. Atque hoc quidem paululum quiddam momenti ad bellum afferebat.

130. Ceterum Scythae ubi animadverterunt Persas tumultuantes, quo diutius in Scythia illi commorarentur, et commorantes torquerentur omnium rerum inopes, faciendum ita sibi putarunt, ut suis ipsorum pecoribus una cum pastoribus relictis, in alium ipsi abscederent locum. Persae illuc se conferentes, excipiebant pecora, quo facto exsultabant.

σῃ χώρῃ τοπαράπαν ὄτε ὄνος, οὔτε ἡμίονος, διὰ τὰ ψύχεα. ὑβρίζοντες ὦν οἱ ὄνοι ἐτάρασσον τὴν ἵππον τῶν Σκυθέων· πολλάκις δὲ ἐπελαυνόντων ἐπὶ τοὺς Πέρσας, μεταξὺ ὅκως ἀκούσειαν οἱ ἵπποι τῶν ὄνων τῆς φωνῆς, ἐταράσσοντό τε ὑποστρεφόμενα, καὶ ἐν θωΰματι ἔσκον, ὀρθὰ ἱστάντες [a] τὰ ὦτα· ἅτε οὔτε ἀκούσαντες πρότερον φωνῆς τῆς τοιαύτης, οὔτε ἰδόντες τὸ εἶδος. ταῦτα μέν νυν ἐπὶ σμικρόν τι ἐφέροντο τοῦ πολέμου.

ρλ'. Οἱ δὲ Σκύθαι ὅκως τοὺς Πέρσας ἴδοιεν τεθορυβημένους, ἵνα παραμένοιέν τε ἐπὶ πλέω χρόνον ἐν τῇ Σκυθικῇ, καὶ παραμένοντες ἀνιῴατο [b], τῶν πάντων ἐπιδεέες ἐόντες, ἐποίευν τοιάδε [c]· ὅκως τῶν προβάτων τῶν σφετέρων αὐτῶν καταλίποιεν μετὰ τῶν νομέων, αὐτοὶ ἂν ὑπεξήλαυνον ἐς ἄλλον χῶρον· οἱ δὲ ἂν Πέρσαι ἐπελθόντες ἐλάβεσκον τὰ πρόβατα, καὶ λαβόντες, ἐπήροντο ἂν τῷ πεποιημένῳ.

[a] ἱστᾶντες. [b] ἀνιῷντο. [c] τοιόνδε.

ρλα΄. Πολλάκις δὲ τοιούτου γινομένου, τέλος Δαρεῖός τε ἐν ἀπορίῃσι εἴχετο, καὶ οἱ Σκυθέων βασιλῆες μαθόντες τοῦτο, ἔπεμπον κήρυκα δῶρα Δαρείῳ φέροντα, ὄρνιθά τε καὶ μῦν καὶ βάτραχον καὶ οἰστοὺς πέντε. Πέρσαι δὲ τὸν φέροντα τὰ δῶρα ἐπηρώτεον τὸν νόον τῶν διδομένων. ὁ δὲ οὐδὲν ἔφη οἱ ἐπεστάλθαι ἄλλο ἢ δόντα τὴν ταχίστην ἀπαλλάσσεσθαι· αὐτοὺς δὲ τοὺς Πέρσας ἐκέλευε, εἰ σοφοί εἰσι, γνῶναι τὸ ἐθέλει [d] τὰ δῶρα λέγειν.

ρλβ΄. Ταῦτα ἀκούσαντες οἱ Πέρσαι, ἐβουλεύοντο. Δαρείου μέν νυν ἡ γνώμη ἦν [e], Σκύθας ἑωϋτῷ διδόναι σφέας τε αὐτοὺς, καὶ γῆν τε καὶ ὕδωρ· εἰκάζοντος [f] τῇδε, ὡς μῦς μὲν ἐν τῇ γῇ γίνεται, καρπὸν τὸν αὐτὸν ἀνθρώπῳ σιτεόμενος· βάτραχος δὲ ἐν ὕδατι· ὄρνις δὲ μάλιστα ἔοικε ἵππῳ· τοὺς δὲ οἰστοὺς, ὡς τὴν ἑωϋτῶν ἀλκὴν παραδιδοῦσι. αὕτη μὲν Δαρείῳ ἡ γνώμη ἀπεδέδεκτο. συνεστήκεε δὲ ταύτῃ ἡ γνώμη Γωβρύεω, τῶν

[d] θέλει. [e] ἦεν. [f] MS. εἰκάζων.

131. Sed quum saepius idem tentarent, ad ultimum Darius inopia rerum laboravit. Id reges Scytharum intelligentes, mittunt ad eum cum muneribus caduceatorem, ave, mure, rana, et quinque sagittis. Persae, eum qui munera ferebat, percontabantur quid illa significarent. Iste negare sibi aliud esse mandatum, nisi ut quum illa tradidisset, celerrime rediret. jubere tamen ipsos Persas, si solertes forent, interpretari quid sibi dona vellent.

132. Hoc quum audissent Persae, consultabant. Et Darii quidem sententia erat, Scythas seipsos ei donare, et terram atque aquam: hac ratione conjectantis, quod mus quidem in terra gignatur, eodem quo homines fructu victitans; rana autem in aquis; avis vero sit equo assimilis: at sagittis dandis, quod suum robur traderent. In hanc sententiam Darius interpretabatur. At Gobryas unus e

septem viris qui magum sustulerunt, hoc dicere dona conjectabat, ‘ O Persae, nisi ‘ conversi in aves subvoletis in coelum, ‘ aut effecti mures subeatis terram, aut ‘ collati in ranas insiliatis in paludes, non ‘ remeabitis unde venistis, his sagittis con- ‘ fecti.’ Et Persae quidem illa munera sic interpretabantur.

133. At una pars Scytharum, cui datum ante erat negotium Maeotidis paludis custodiendae, tunc autem cum Ionibus qui ad Istrum erant colloquendi, ubi ad pontem venit, ita verba fecit, ‘ Viri ‘ Iones, libertatem vobis ferentes veni- ‘ mus, si modo exaudire volueritis. Ac- ‘ cepimus enim, Darium vobis praecepis- ‘ se, ut ad sexaginta duntaxat dies custo- ‘ diam pontis ageretis; si intra id tem- ‘ pus ipse non afforet, domum abiretis. ‘ Itaque vos id facientes, et apud illum et

ἀνδρῶν τῶν ἑπτὰ ἑνὸς τῶν τὸν μάγον κατελόντων, εἰκάζοντος τὰ δῶρα λέγειν; ‘ Ἢν μὴ ὄρνιθες γενόμενοι ἀναπτῆσθε ἐς τὸν ‘ οὐρανὸν, ὦ Πέρσαι, ἢ μύες γενόμενοι κατὰ ‘ τῆς γῆς καταδύητε, ἢ βάτραχοι γενόμε‑ ‘ νοι ἐς τὰς λίμνας ἐσπηδήσητε [g], οὐκ ἀπο‑ ‘ νοστήσετε ὀπίσω, ὑπὸ τῶνδε τῶν τοξευ‑ ‘ μάτων βαλλόμενοι.’ Πέρσαι μὲν δὴ τὰ [h] δῶρα εἴκαζον.

ρλγ.′ Ἡ δὲ Σκυθέων μίη μοίρη ἡ ταχθεῖσα πρότερον μὲν παρὰ τὴν Μαιῆτιν λίμνην φρουρέειν, τότε δὲ ἐπὶ τὸν Ἴστρον Ἴωσι ἐς λόγους ἐλθεῖν, ὡς ἀπίκετο ἐπὶ τὴν γέφυραν, ἔλεγε τάδε, ‘ Ἄνδρες Ἴωνες, ἐ‑ ‘ λευθερίην ὑμῖν ἥκομεν φέροντες, ἤνπερ γε ‘ ἐθέλητε ἐσακούειν. πυνθανόμεθα γὰρ Δα‑ ‘ ρεῖον ἐντείλασθαι ὑμῖν, ἑξήκοντα ἡμέρας ‘ μούνας φρουρήσαντας τὴν γέφυραν, αὐτοῦ ‘ μὴ παραγενομένου ἐν τούτῳ τῷ χρόνῳ, ‘ ἀπαλλάσσεσθαι ἐς τὴν ὑμετέρην. νῦν ‘ ὦν ὑμεῖς τάδε ποιεῦντες, ἐκτὸς μὲν ἔσεσθε

[g] ἐκπηδήσητε. [h] δὴ οὕτω τά.

‘ πρὸς ἐκείνυς αἰτίης, ἐκλὸς δὲ πρὸς ἡμέων
‘ τὰς προκειμένας ἡμέρας παραμείναντες,
‘ τὸ ἀπὸ τύτυ ἀπαλλάσσεσθε.’ ὗτοι μὲν
νυν, ὑποδεξαμένων Ἰώνων ποιήσειν ταῦτα,
ὀπίσω τὴν ταχίστην ἐπείγοντο.

ρλδ΄. Πέρσησι δὲ μετὰ τὰ δῶρα τὰ ἐλθόντα Δαρείῳ, ἀντετάχθησαν οἱ ὑπολειφθέντες Σκύθαι πεζῷ καὶ ἵπποισι, ὡς συμβαλέοντες. τεταγμένοισι δὲ τοῖσι Σκύθησι λαγὸς ἐς τὸ μέσον διήϊξε· τῶν δὲ, ὡς ἕκαστοι ὥρεον τὸν λαγὸν, ἐδίωκον. ταραχθέντων δὲ τῶν Σκυθέων, καὶ βοῇ χρεωμένων, εἴρετο ὁ Δαρεῖος τῶν ἀντιπολεμίων τὸν θόρυβον. πυθόμενος δέ σφεας τὸν λαγὸν διώκοντας, εἶπε ἄρα πρὸς τούσπερ ἐώθεε καὶ τὰ ἄλλα λέγειν, ‘ Οὗτοι ἄνδρες ἡμέων
‘ πολλὸν καταφρονέουσι. καί μοι νῦν φαίνεται Γωβρύης εἰπεῖν [a] περὶ τῶν Σκυθικῶν δώρων ὀρθῶς· ὡς ὦν ὕτως ἤδη δοκεόντων καὶ αὐτῷ μοι ἔχειν, βυλῆς ἀγαθῆς
‘ δεῖ, ὅκως ἀσφαλέως ἡ κομιδὴ ἡμῖν ἔσται

[a] εἶπαι.

'apud nos culpam devitaveritis. proinde 'quum ad praestitutam diem permanse-'ritis, jam abscedite.' Haec se facturos recipientibus Ionibus, Scythae celerrime retro abiere.

134. At ceteri Scythae, post missa Dario dona, cum peditatu ac equitatu adversus Persas in acie instructi steterunt tanquam conflicturi. quum interim lepus in medium prosiluit, quem ut quisque vidit, insequebatur. Perturbatis Scythis ac vociferantibus, sciscitabatur Darius unde hostium tumultus existeret: et quum audisset illos leporem insectari, inquit ad eos Persas cum quibus cetera colloqui consueverat, 'Hi viri videntur magno nos 'habere contemptui, et nunc Gobryas 'recte dixisse de Scythicis donis. Unde 'quum mihi quoque jam ipsi ita habere 'videantur, bono consilio est opus, ut tu-'tus nobis eo unde venimus sit receptus.'

Ad haec Gobryas, ‘ Equidem, inquit, ô ‘ rex, horum ego virorum inopiam videbar mihi fere fama habere cognitam, ‘ sed ubi adveni, evidentius intellexi, animadvertens eos habere nos ludibrio. ‘ Proinde mihi videtur, quum primum ‘ nox venerit, incensis ignibus, prout alias ‘ quoque consuevimus facere, maxime ‘ imbecillis ad aerumnas deceptis asinisque omnibus alligatis, abeundum, priusquam versus Istrum recta pergant Scythae ad pontem solvendum, aut Ionibus aliquid videatur, quod nos queat ‘ perdere.’

135. Hoc Gobryas consilium dabat. Cui assentiens Darius, ubi nox adfuit, reliquit in castris viros languidos, et eos quorum amissio minimi facienda esset, nec non omnes asinos alligatos: reliquit vero et asinos et infirmos ex agmine idcirco,

‘ ὀπίσω.’ πρὸς ταῦτα Γωβρύης εἶπε, ‘ Ὦ βασιλεῦ, ἐγὼ σχεδὸν μὲν ϗ λόγῳ ἠπιϛάμην τȣ́των τῶν ἀνδρῶν τὴν ἀπορίην· ἐλθὼν δὲ, μᾶλλον ἐξέμαθον, ὁρέων αὐτοὺς ἐμπαίζοντας ἡμῖν. νῦν ὦν μοι δοκέει, ἐπὴν τάχιϛα νὺξ ἔλθῃ [b], ἐκκαύσαντας τὰ πυρὰ (ὡς ϗ ἄλλοτε ἐώθαμεν ποιέειν) τῶν ϛρατιωτέων τȣ̀ς ἀσθενεϛάτȣς ἐς τὰς ταλαιπωρίας ἐξαπατήσαντας, καὶ τȣ̀ς ὄνους πάντας καταδήσαντας, ἀπαλλάσσεσθαι, πρὶν ἢ καὶ ἐπὶ τὸν Ἴϛρον ἰθῦσαι Σκύθας λύσοντας τὴν γέφυραν, ἢ καί τι Ἴωσι δόξαι, τὸ ἡμέας οἷόν τε ἔϛαι [c] ἐξεργάσασθαι.’

ρλέ. Γωβρύης μὲν ταῦτα συνεβȣ́λευε. μετὰ δὲ, νύξ τε ἐγένετο, ϗ Δαρεῖος ἐχρᾶτο τῇ γνώμῃ ταύτῃ· τȣ̀ς μὲν καματηρȣ̀ς τῶν ἀνδρῶν, ϗ τῶν ἦν ἐλάχιϛος ἀπολλυμένων λόγος, ϗ τȣ̀ς ὄνȣς πάντας καταδήσας, κατέλιπε αὐτȣ̃ ταύτῃ ἐν [d] τῷ ϛρατοπέδῳ· κατέλιπε δὲ τȣ́ς τε ὄνȣς ϗ τȣ̀ς

[b] ἐπεὰν τάχιϛα νὺξ ἐπέλθοι. [c] Verbum ἔϛαι non eſt in MS.
[d] αὐτȣ̃ ἐν.

ἀσθενέας τῆς στρατιῆς, τῶνδε εἵνεκεν[e]· ἵνα οἱ μὲν ὄνοι βοὴν παρέχωνται· οἱ δὲ ἄνθρωποι ἀσθενείης μὲν εἵνεκεν[e] κατελίποντο, προφάσιος δὲ τῆσδε δηλαδή· αὐτὸς μὲν σὺν τῷ καθαρῷ τοῦ στρατοῦ ἐπιθήσεσθαι μέλλοι τοῖσι Σκύθῃσι, οὗτοι δὲ τὸ στρατόπεδον τοῦτον τὸν χρόνον ῥυοίατο. ταῦτα τοῖσι ὑπολελειμμένοισι[f] ὑποθέμενος ὁ Δαρεῖος, καὶ πυρὰ ἐκκαύσας, τὴν ταχίστην ἐπείγετο ἐπὶ τὸν Ἴστρον. οἱ δὲ ὄνοι ἐρημωθέντες τοῦ ὁμίλου, οὕτω δὴ[g] μᾶλλον πολλῷ ἵεσαν τῆς φωνῆς. ἀκούσαντες δὲ οἱ Σκύθαι τῶν ὄνων, πάγχυ κατὰ χώρην ἤλπιζον τοὺς Πέρσας εἶναι.

ρλϛ΄. Ἡμέρης δὲ γενομένης γνόντες οἱ ὑπολειφθέντες ὡς προδεδομένοι εἶεν ὑπὸ Δαρείου, χεῖράς τε προετείνοντο[h] τοῖσι Σκύθῃσι, καὶ ἔλεγον τὰ κατήκοντα. οἱ δὲ ὡς ἤκουσαν ταῦτα, τὴν ταχίστην συστραφέντες, αἵ τε δύο μοῖραι τῶν Σκυθέων, καὶ ἡ μία, Σαυρομάται καὶ Βουδῖνοι καὶ Γελωνοὶ, ἐδίωκον τοὺς Πέρσας ἰθὺ τοῦ Ἴστρου. ἅτε δὲ τοῦ

[e] ἕνεκα bis. [f] ὑπολειπομένοισι. [g] οὕτω μὲν δὴ. [h] προέτεινον.

ut asini quidem vocem ederent; homines autem relinquebantur infirmitatis caussa, sed scilicet hoc titulo; quasi ipse cum flore copiarum adoriturus foret Scythas, isti interea castra tutarentur. Haec persuadens iis qui relinquebantur Darius, accensis ignibus quammaturrime ad Istrum contendit. Asini, quod multitudine destituti essent, eo magis rudere. quos audientes Scythae, credere omnino Persas in eisdem permanere castris.

136. Verum ubi illuxit, ii qui relicti erant, cognito se proditos esse a Dario, manus protendere ad Scythas, et quae decebat edere. His illi auditis, repente collecti, duae Scytharum partes, et una, Sauromatae Budinique ac Geloni, Persas recta ad Istrum persequuntur. Quum ve-

ro Perſicus exercitus magnam partem eſſent pedites, et itinera neſciret, utpote viis non ſectis, Scythicus vero forent equites, et compendia viarum ſcientes, utrique ab alteris aberrantes, multo priores ad pontem Scythae pervenere quam Perſae. Ibi cognito nondum veniſſe Perſas, ita ad Ionas qui in navibus erant verba fecerunt, 'Viri Iones, et dierum numerus jam pertranſiit, et injurii eſtis qui adhuc permanetis: ſed quoniam antea prae timore manſiſtis, nunc ſolvite trajectum, atque quam celerrime abite liberi, diis ac Scythis gratiam habentes. Nam eum qui antea dominus veſter erat, ita tractabimus ut adverſus nullum mortalium ſit facturus expeditionem.'

137. De hac re conſultantibus Ionibus, Miltiadis quidem Athenienſis ducis ac tyranni Cherſonenſium (qui ſunt in

Περσικοῦ μὲν τοῦ πολλοῦ ἐόντος πεζοῦ στρατοῦ, καὶ τὰς ὁδοὺς οὐκ ἐπισταμένου, ὥστε οὐ τετμημένων τῶν ὁδῶν, τοῦ δὲ Σκυθικοῦ, ἱππότεω, καὶ τὰ σύντομα τῆς ὁδοῦ ἐπισταμένου, ἁμαρτόντες ἀλλήλων, ἔφθησαν πολλῷ οἱ Σκύθαι τοὺς Πέρσας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι. μαθόντες δὲ τοὺς Πέρσας οὔκω ἀπιγμένους, ἔλεγον πρὸς τοὺς Ἴωνας ἐόντας ἐν τῇσι νηυσὶ, ‘ Ἄνδρες Ἴωνες, αἵ τε ἡμέραι ὑμῖν τοῦ ἀριθ-‘ μοῦ διοίχηνται, καὶ οὐ ποιέετε δίκαια ἔτι ‘ παραμένοντες. ἀλλ᾽ ἐπεὶ πρότερον δει-‘ μαίνοντες ἐμένετε, νῦν λύσαντες τὸν πό-‘ ρον, τὴν ταχίστην ἄπιτε χαίροντες ἐλεύ-‘ θεροι, θεοῖσί τε καὶ Σκύθῃσι εἰδότες χά-‘ ριν. τὸν δὲ πρότερον ἐόντα ὑμέων δεσπό-‘ την ἡμεῖς παραστησόμεθα οὕτω, ὥστε ἐπὶ ‘ μηδαμοὺς ἔτι ἀνθρώπους αὐτὸν στρατεύ-‘ σασθαι.’

ρλζ. Πρὸς ταῦτα οἱ Ἴωνες ἐβουλεύοντο· Μιλτιάδεω δὲ τοῦ [a] Ἀθηναίου στρατηγέοντος καὶ τυραννεύοντος Χερσονησιτέων [b] τῶν

[a] Μιλτιάδεω μὲν τυ. [b] Χερσονησιωτέων.

ἐν Ἑλλησπόντῳ, ἦν γνώμη πείθεσθαι Σκύθῃσι, καὶ ἐλευθεροῦν Ἰωνίην· Ἱστιαίου δὲ τοῦ Μιλησίου ἐναντίη ταύτῃ, λέγοντος ὡς νῦν μὲν διὰ Δαρεῖον ἕκαστος αὐτέων τυραννεύει πόλιος, τῆς Δαρείου δὲ δυνάμεως καταιρεθείσης, οὔτε αὐτὸς Μιλησίων οἷός τε ἔσεσθαι ἄρχειν, οὔτε ἄλλον οὐδένα οὐδαμῶν. βουλήσεσθαι γὰρ ἑκάστην τῶν πολίων δημοκρατέεσθαι μᾶλλον ἢ τυραννεύεσθαι. Ἱστιαίου δὲ γνώμην ταύτην ἀποδεικνυμένου, αὐτίκα πάντες ἦσαν τετραμμένοι πρὸς ταύτην τὴν γνώμην, πρότερον τὴν Μιλτιάδεω αἱρεόμενοι.

ρλη΄. Ἦσαν δὲ οὗτοι οἱ διαφέροντές τε τὴν ψῆφον, καὶ ἐόντες λόγου πρὸς βασιλῆος, Ἑλλησποντίων μὲν τύραννοι, Δάφνις τε Ἀβυδηνὸς, καὶ Ἵπποκλος Λαμψακηνὸς, καὶ Ἡρόφαντος Παριηνὸς, καὶ Μητρόδωρος Προκοννήσιος, καὶ Ἀρισταγόρης Κυζικηνὸς, καὶ Ἀρίστων Βυζάντιος. οὗτοι μὲν ἦσαν οἱ ἐξ Ἑλλησπόντου. ἀπ' Ἰωνίης δὲ, Στράττις τε Χῖ-

Hellespoнto) sententia erat, Scythis obtemperandum esse, et Ioniam servitute liberandam. At Histiaei Milesii diversa, quod diceret nunc quidem eos suae quemque urbis tyrannos esse ob Darium: potentia vero Darii sublata, neque se Milesiis, neque alium quemquam usquam praeesse posse. Fore enim ut singulae civitates popularem statum quam tyrannicum mallent. Hanc sententiam quum dixisset Histiaeus, omnes confestim qui Miltiadi assensi fuerant, in eam transierunt.

138. Fuere autem qui sententias tulerunt et alicujus apud regem existimationis, Hellespontiorum quidem tyranni, et Daphnis Abydenus, et Hippoclus Lampsacenus, et Herophantus Parienus, et Metrodorus Proconnesius, et Aristagoras Cyzicenus, et Ariston Byzantius: et isti quidem ex Hellesponto. Ab Ionia autem, et Stratias Chius, et Aeacides Sami-

us, et Laodamas Phocaeensis, et Histiaeus Milesius: cujus sententia praelata est contraria sententiae Miltiadis. Aeolensium vero unus affuit qui esset alicujus auctoritatis, Aristagoras Cymaeus.

139. Hi, posteaquam Histiaei probavere sententiam, hoc sibi praeterea agendum dicendumque censuerunt, pontis partem versus Scythicam ripam solvere, solvere autem quantum ex arcu sagitta adsequitur; ut et facere aliquid viderentur, quum tamen nihil facerent, neve Scythae tentarent vim afferentes, et volentes Istrum ponte transire, et dicere solventes ab ista parte pontem, quasi omnia ad voluntatem Scytharum facerent. Haec sententiae Histiaei addiderunt; et mox pro universis ad Scythas Histiaeus ista verba fecit, 'Viri Scythae, utilem nobis rem attulistis, et opportune instatis: 'atque ut vos nobis probe viam ostendi-

ος, ϰ̀ Αἰακίδης Σάμιος, ϰ̀ Λαοδάμας Φωκαιεὺς [c], ϰ̀ Ἱστιαῖος Μιλήσιος· τȣ̃ ἦν γνώμη προκειμένη ἐναντίη τῇ Μιλτιάδεω. Αἰολέων δὲ παρῆν λόγιμος μȣ̃νος Ἀρισταγόρης ὁ Κυμαῖος.

ρλθʹ. Οὗτοι ὦν ἐπεί τε τὴν Ἱστιαίου αἱρέοντο γνώμην, ἔδοξέ σφι πρὸς ταύτῃ τάδε ἔργα τε ϰ̀ ἔπεα προσθεῖναι· τῆς μὲν γεφύρης λύειν τὰ κατὰ τȣ̀ς Σκύθας ἐόντα, λύειν δὲ ὅσον τόξευμα ἐξικνέεται· ἵνα καὶ ποιέειν τι δοκέωσι, ποιεῦντες μηδέν· καὶ οἱ Σκύθαι μὴ πειρῴατο βιώμενοι, καὶ βουλόμενοι διαβῆναι τὸν Ἴστρον κατὰ τὴν γέφυραν· εἰπεῖν τε λύοντας τῆς γεφύρης τὸ ἐς τὴν Σκυθικὴν ἔχον, ὡς πάντα ποιήσȣσι τὰ Σκύθῃσι ἐστὶ ἐν ἡδονῇ. ταῦτα μὲν προσέθηκαν τῇ γνώμῃ. μετὰ δὲ, ἐκ πάντων ὑπεκρίνατο Ἱστιαῖος, τάδε λέγων, ‘ Ἄνδρες Σκύ‘ θαι, χρηστὰ ἥκετε φέροντες, ϰ̀ ἐς καιρὸν ‘ ἐπείγεσθε. καὶ τά τε ἀπ' ὑμέων ἡμῖν ‘ χρηστῶς ὁδȣ̃ται, ϰ̀ τὰ ἀπ' ἡμέων ἐς ὑμέ-

[c] Φωκιεὺς.

‘ ας ἐπιτηδέως ὑπηρετέεται. ὡς γὰρ ὁρᾶ-
‘ τε, καὶ λύομεν τὸν πόρον, καὶ προθυμίην
‘ πᾶσαν ἕξομεν, θέλοντες εἶναι ἐλεύθεροι.
‘ ἐν ᾧ δὲ ἡμέες τάδε λύομεν, ὑμέας καιρός
‘ ἐστι δίζεσθαι ἐκείνους· εὑρόντας δὲ, ὑπέρ
‘ τε ἡμέων καὶ ὑμέων αὐτέων [d] τίσασθαι
‘ οὕτως ὡς ἐκείνοισι πρέπει.’

ρμ΄. Σκύθαι μὲν τοδεύτερον Ιωσι πιστεύσαντες λέγειν ἀληθέα, ὑπέστρεφον ἐπὶ ζήτησιν τῶν Περσέων, καὶ ἥμαρτανον πάσης τῆς ἐκείνων διεξόδου. αἴτιοι δὲ τούτου αὐτοὶ οἱ Σκύθαι ἐγένοντο, τὰς νομὰς τῶν ἵππων τὰς ταύτῃ διαφθείραντες, καὶ τὰ ὕδατα συγχώσαντες. εἰ γὰρ ταῦτα μὴ ἐποίησαν, παρεῖχε ἄν σφι, εἰ ἐβούλοντο, εὐπετέως ἐξευρέειν τοὺς Πέρσας· νῦν δὲ τά σφι ἐδόκεε ἄριστα βεβουλεῦσθαι, κατὰ ταῦτα ἐσφάλησαν. Σκύθαι μέν νυν τῆς σφετέρης χώρης τῇ χιλός τε τοῖσι ἵπποισι καὶ ὕδατα ἦν, ταύτῃ διεξιόντες, ἐδίζηντο τοὺς ἀντιπολεμίους, δοκέοντες καὶ ἐκείνους διὰ τοιούτων τὴν ἀ-

[d] αὐτῶν.

'tis, ita nos vobis obſequenter obtempe-'ramus. Ut enim cernitis,et trajectum re-'ſcindimus, et adhibebimus omnem pro-'nitatem mentis, cupidi aſſequendae li-'bertatis. Ceterum dum nos haec ſolvi-'mus, interea vos inquirere illos tempus 'admonet, et inventos, tam veſtro quam 'noſtro nomine ita ulciſci ut merentur.'

140. Scythae, Ionibus iterum fidem habentes, tanquam vera eloquutis, ad inquirendos Perſas reverterunt: atque ab omni illorum itinere aberrarunt; cujus ipſi fuerunt cauſſa, quod pabula equorum illis in locis corruperant, fonteſque obſtruxerant. quae niſi feciſſent, facile ſi voluiſſent Perſas inveniſſent: nunc ita faciendo, viſi ſibi fuerant optime conſuluiſſe, ob quae tamen eos res fruſtrata eſt. Quippe eam ſuae regionis partem conſectantes in qua cibaria equis atque aquae forent, hoſtem indagabant, rati illum ea-

dem parte fugam intendisse: at ille observato quod prius tenuerat itinere, aberat, atque ita aegre trajectus reperit locum. Et quum noctu pervenisset, nactus pontem solutum, animo prorsus concidit, veritus ne se relicto Iones abiissent.

141. Erat autem apud Darium Aegyptius vir, omnium hominum vocalissimus: hunc Darius supra labrum Istri positum jubet inclamare Histiaeum Milesium: Histiaeus primam inclamationem exaudiens, omnes naves admovit ad trajiciendum exercitum, et pontem junxit.

142. Atque hunc in modum Persae effugerunt, quos indagantes Scythae, iterum aberraverunt. et ob id Iones tum quasi liberos, sed pessimos et ignavissimos omnium hominum esse judicant; tum de eis tanquam de servis loquentes, manci-

πόῤῥησιν ποιέεσθαι [e]. οἱ δὲ δὴ Πέρσαι τὸν πρότερον ἑωϋτὸν γενόμενον στίβον, τοῦτον φυλάσσοντες ἦσαν [f]. καὶ οὕτω μόγις εὗρον τὸν πόρον. οἱ δὲ, νυκτός τε ἀπικόμενοι, καὶ λελυμένης τῆς γεφύρης ἐντυχόντες, ἐς πᾶσαν ἀῤῥωδίην ἀπίκοντο μή σφεας οἱ Ἴωνες ἔωσι ἀπολελοιπότες.

ρμα'. Ἦν δὲ περὶ Δαρεῖον ἀνὴρ Αἰγύπτιος, φωνέων μέγιστον ἀνθρώπων· τοῦτον δὴ τὸν ἄνδρα καταστάντα ἐπὶ τοῦ χείλεος τοῦ Ἴστρου, ἐκέλευε Δαρεῖος καλέειν Ἱστιαῖον Μιλήσιον. ὁ μὲν δὴ ἐποίεε ταῦτα· Ἱστιαῖος δὲ, ἐπακούσας τῷ πρώτῳ κελεύσματι, τάς τε νέας ἁπάσας παρεῖχε διαπορθμεύειν τὴν στρατιὴν, καὶ τὴν γέφυραν ἔζευξε.

ρμβ'. Πέρσαι μὲν ὦν οὕτω ἐκφεύγουσι. Σκύθαι δὲ διζήμενοι, καὶ τοδεύτερον ἥμαρτον τῶν Περσέων. καὶ τοῦτο μὲν, ὡς ἐόντας Ἴωνας ἐλευθέρους, κακίστους τε καὶ ἀνανδροτάτους κρίνουσι εἶναι ἁπάντων ἀνθρώπων· τοῦτο δὲ, ὡς δούλων Ἰώνων τὸν λόγον ποιεύμενοι, ἀν-

[e] ποιήσασθαι. [f] ἴσαν.

ἀνδράποδα φιλοδέσποτα. φασὶ εἶναι, καὶ ἄδρηστα μάλιστα. ταῦτα μὲν δὴ Σκύθησι ἐς Ἴωνας ἀπέρριπται.

ρμγʹ. Δαρεῖος δὲ διὰ τῆς Θρηΐκης πορευόμενος, ἀπίκετο ἐς Σηστὸν τῆς Χερσονήσου. ἐνθεῦτεν δὲ αὐτὸς μὲν διέβη τῇσι νηυσὶ ἐς τὴν Ἀσίην, λείπει δὲ στρατηγὸν ἐν τῇ Εὐρώπῃ Μεγάβαζον, ἄνδρα Πέρσην· τῷ Δαρεῖός κοτε ἔδωκε γέρας, τοιόνδε εἴπας ἐν Πέρσῃσι ἔπος. ὡρμημένου Δαρείου ῥοιὰς τρώγειν, ὡς ἄνοιξε τάχιστα τὴν πρώτην τῶν ῥοιέων, εἴρετο αὐτὸν ὁ ἀδελφεὸς Ἀρτάβανος, ὅ, τι βούλοιτ' ἄν οἱ τοσοῦτον πλῆθος γενέσθαι ὅσοι ἐν τῇ ῥοιῇ κόκκοι. Δαρεῖος δὲ εἶπε, Μεγαβάζους ἄν οἱ τοσούτους ἀριθμὸν γενέσθαι βούλεσθαι μᾶλλον ἢ τὴν Ἑλλάδα ὑπήκοον. ἐν μὲν δὴ Πέρσῃσι ταῦτά μιν εἴπας ἐτίμα· τότε δὲ αὐτὸν ὑπέλιπε στρατηγὸν, ἔχοντα τῆς στρατιῆς τῆς ἑωϋτοῦ ὀκτὼ μυριάδας.

ρμδʹ. Οὗτος δὲ ὁ Μεγάβαζος, εἴπας

pia dominos amantia esse ajunt, et minime fugientia. Haec in Iones Scythae probra jaciunt.

143. Darius per Thraciam iter faciens, Sestum Chersonesi pervenit, atque illinc in Asiam navibus ipse transivit, relicto in Europa exercitus duce Megabazo, viro Persa, cui Darius aliquando hunc honorem habuit, ut hoc verbum inter Persas diceret: quum esset esurus mala Punica, simulac primum malum aperuit, interrogatus a fratre Artabano, quid tam multiplex fieri sibi optaret quantum in malo esset acinorum, respondit, Se praeoptare tot numero sibi esse Megabazos quàm Graeciam subditam. His verbis apud Persas hominem honoravit: quem tunc praetorem reliquit cum octoginta millibus suorum militum.

144. Megabazus autem hic immor-

talem ſui memoriam apud Helleſpontios reliquit, hoc dicto, quod quum Byzantii rogans et inquirens audiſſet Chalcedonios ſeptem et decem annis ante Byzantios regionem condidiſſe, inquit Chalcedonios eo tempore caecos fuiſſe; qui, quum pulchrior adeſſet locus ad condendum, nequaquam turpiorem elegiſſent niſi caeci fuiſſent. Hic igitur Megabazus in Helleſpontiorum plaga pro praetore relictus, eos qui diverſarum a Medis partium erant, ſubigebat. et iſte quidem talia agebat.

145. PER idem ſane tempus alia ingens in Africam extitit militaris expeditio, ob eam quam ego commemorabo cauſſam, his prius expoſitis: Argonautarum poſteri quum a Pelaſgis qui feminas Athenienſium ex Braurone praedati ſunt, eſſent ejecti a Lemno, Lacedaemonem navigaverunt, conſidenteſque apud Tay-

τόδε ἔπος, ἐλίπετο ἀθάνατον μνήμην πρὸς Ἑλλησποντίων. ἐρόμενος [a] γὰρ ἐν Βυζαντίῳ ἐπύθετο ἑπτακαίδεκα ἔτεσι πρότερον Χαλκηδονίους κτίσαντας τὴν χώρην Βυζαντίων. πυθόμενος δὲ, ἔφη Χαλκηδονίους τοῦτον τὸν χρόνον τυγχάνειν ἐόντας τυφλούς· οὐ γὰρ ἂν τοῦ καλλίονος παρεόντος κτίζειν χώρου, τὸν αἴσχιονα ἑλέσθαι, εἰ μὴ ἦσαν τυφλοί. οὗτος δὴ ὧν τότε ὁ Μεγάβαζος στρατηγὸς λειφθεὶς ἐν τῇ χώρῃ Ἑλλησποντίων, τοὺς μὴ μηδίζοντας κατεστρέφετο. οὗτος μέν νυν ταῦτα ἔπρησσε.

ρμέ. Τὸν αὐτὸν δὴ τοῦτον χρόνον ἐγίνετο ἐπὶ Λιβύην ἄλλος στρατιῆς μέγας στόλος, διὰ πρόφασιν τὴν ἐγὼ ἀπηγήσομαι, προδιηγησάμενος πρότερον τάδε· τῶν ἐκ τῆς Ἀργοῦς ἐπιβατέων παίδων παῖδες, ἐξελαθέντες ὑπὸ Πελασγῶν τῶν ἐκ [b] Βραυρῶνος ληϊσαμένων τὰς Ἀθηναίων γυναῖκας, ὑπὸ τούτων δὲ ἐξελαθέντες [c] ἐκ Λήμνου, οἴχοντο πλέοντες ἐς Λακεδαίμονα. ἱζόμενοι

[a] γενόμενος. [b] Πελασγῶν ἐκ. [c] ὑπὸ τουτέων ἐξελαθέντες.

δὲ ἐν τῷ Τηϋγέτῳ, πυρὴν ἔκαιον [d]. Λακεδαιμόνιοι δὲ ἰδόντες, ἄγγελον ἔπεμπον, πευσόμενοι [e] τίνες τε καὶ ὁκόθεν εἰσί. οἱ δὲ τῷ ἀγγέλῳ εἰρωτέοντι ἔλεγον, ὡς εἴησαν μὲν Μινύαι, παῖδες δὲ εἶεν τῶν ἐν τῇ Αργοῖ πλεόντων ἡρώων· προσχόντας γὰρ τούτους [f] ἐς Λῆμνον, φυτεῦσαι σφέας. οἱ δὲ Λακεδαιμόνιοι ἀκηκοότες τὸν λόγον τῆς γενεῆς τῶν Μινυέων, πέμψαντες τοδεύτερον, ἠρώτεον τί θέλοντες ἥκοιέν τε ἐς τὴν χώρην, καὶ πῦρ αἴθοιεν. οἱ δὲ ἔφασαν, ὑπὸ Πελασγῶν ἐκβληθέντες, ἥκειν ἐς τοὺς πατέρας· δικαιότατον γὰρ εἶναι οὕτω τοῦτο γίνεσθαι· δέεσθαί τε οἰκέειν ἅμα τούτοισι, μοῖράν τε τιμέων μετέχοντες, καὶ τῆς γῆς ἀπολαχόντες. Λακεδαιμονίοισι δὲ ἕαδε δέκεσθαι τοὺς Μινύας ἐπ' οἷσι θέλουσι αὐτοί· μάλιστα δὲ ἐνῆγέ σφεας ὥστε ποιέειν ταῦτα, τῶν Τυνδαριδέων ἡ ναυτιλίη ἐν τῇ Αργοῖ. δεξάμενοι δὲ τοὺς Μινύας, γῆς τε μετέδοσαν, καὶ ἐς φυλὰς διεδάσαντο. οἱ

[d] πῦρ ἀνέκαιον. [e] πευσόμενον. [f] προσχόντας δὲ τούτους.

getum ligneum acervum accenderunt. Quos Lacedaemonii quum vidissent, nuncium misere sciscitatum quinam et unde essent. Illi nuncio sciscitanti responderunt se Minyas fuisse, ab iis heroibus oriundos qui in Argo navigassent, quique quum Lemnum appulissent, illic eos procreassent. Hanc mentionem stirpis Minyarum quum audissent Lacedaemonii, misso iterum nuncio sciscitantur quid sibi velit ipsorum adventus in hanc regionem, atque ignis accensio. Illi vero se respondent a Pelasgis ejectos, redire ad parentes, (aequissimum enim id factu esse) orareque ut liceat una cum eis habitare, tum honorum, tum agrorum participes. Eos recipere conditione qua ipsi vellent, Lacedaemoniis placuit, cum ob alia ad hoc faciendum inductis, tum praecipue quod Tyndaridae in Argo navigaverant. Receptos Minyas et agris impertierunt et in tribus cooptarunt. Ibi confestim abloca-

tis in alios quas e Lemno duxerant mulieribus, matrimonia contraxerunt.

146. Non longo deinde interjecto tempore, statim Minyae lascivierunt, tum regnum affectantes, tum alia flagitiosa perpetrantes. Quo nomine eos Lacedaemonii morte mulctandos quum censuissent, comprehensos in carcerem conjecerunt. Quoscunque autem Lacedaemonii morte plectendos censent, eos noctu plectunt, interdiu neminem. Quum igitur essent in illos animadversuri, exorati sunt ab eorum uxoribus, qnae cives erant et primorum Spartanorum filiae, veniam ingrediendi carcerem, et cum suo cujusque viro colloquendi, nullum in illis dolum fore suspicantes. Horum permissu Minyarum uxores ingressae carcerem, omni veste quam gestabant viris tradita, illorum vestem illae sumpserunt. Ita Minyae muliebri veste amicti, veluti mulieres, foras prodie-

δὲ αὐτίκα μὲν γάμους ἔγημαν, τὰς δὲ ἐκ Λήμνου ἤγοντο, ἐξέδοσαν ἄλλοισι.

ρμϛʹ. Χρόνου δὲ οὐ πολλοῦ διεξελθόντος, αὐτίκα οἱ Μινύαι ἐξύβρισαν, τῆς τε βασιληΐης μεταιτέοντες, καὶ ἄλλα ποιέοντες οὐκ ὅσια. τοῖσι ὦν Λακεδαιμονίοισι ἔδοξε αὐτοὺς ἀποκτεῖναι· συλλαβόντες δέ σφεας κατέβαλον ἐς ἑρκτήν. κτείνουσι δὲ τοὺς ἂν κτείνωσι Λακεδαιμόνιοι, νυκτός· μετ' ἡμέρην δὲ οὐδένα. ἐπεὶ ὦν ἔμελλόν σφεας καταχρήσεσθαι, παραιτήσαντο αἱ γυναῖκες τῶν Μινυέων, ἐοῦσαι ἀσταί τε, καὶ τῶν πρώτων Σπαρτιητέων θυγατέρες, ἐς ὃ ἐλθεῖν τε ἐς [a] τὴν ἑρκτὴν, καὶ ἐς λόγους ἐλθεῖν ἑκάστη τῷ ἑωϋτῆς ἀνδρί. οἱ δέ σφεας παρῆκαν, οὐδένα δόλον [b] δοκέοντες ἐξ αὐτέων ἔσεσθαι. αἱ δὲ ἐπεί τε ἐσῆλθον, ποιεῦσι τοιάδε [c]· πᾶσαν τὴν εἶχον ἐσθῆτα παραδοῦσαι τοῖσι ἀνδράσι, αὐταὶ τὴν τῶν ἀνδρῶν ἔλαβον. οἱ δὲ Μινύαι, ἐνδύντες τὴν γυναικηΐην ἐσθῆτα, ἅτε γυναῖκες, ἐξήϊσαν ἔξω. ἐκφυγόν-

[a] θυγατέρες, ἐσελθεῖν ἐς. [b] λόγον. [c] τάδε.

τες δὲ τρόπῳ τοιούτῳ [d] ἵζοντο αὖτις ἐς τὸ Τηΰγετον.

ρμζ΄. Τὸν δὲ αὐτὸν τοῦτον χρόνον Θήρας ὁ Αὐτεσίωνος, τοῦ Τισαμενοῦ, τοῦ Θερσάνδρου, τοῦ Πολυνείκεος, ἔστελλε ἐς ἀποικίην ἐκ Λακεδαίμονος. ἦν δὲ ὁ Θήρας οὗτος γένος ἐὼν Καδμεῖος, τῆς μητρὸς ἀδελφεὸς τοῖσι παισὶ Αριστοδήμου, Εὐρυσθένεϊ καὶ Προκλέϊ. ἐόντων δ' ἔτι τῶν παίδων τούτων νηπίων, ἐπιτροπαίην εἶχε ὁ Θήρας τὴν ἐν Σπάρτῃ βασιληΐην. αὐξηθέντων δὲ τῶν ἀδελφιδέων [e], καὶ παραλαβόντων τὴν ἀρχὴν, οὕτω δὴ ὁ Θήρας δεινὸν ποιεύμενος ἄρχεσθαι ὑπ' ἄλλων, ἐπεί τε ἐγεύσατο ἀρχῆς, οὐκ ἔφη μενεῖν ἐν τῇ Λακεδαίμονι, ἀλλ' ἀποπλεύσεσθαι ἐς τοὺς συγγενέας· ἦσαν δὲ ἐν τῇ νῦν Θήρῃ καλεομένῃ νήσῳ, πρότερον δὲ Καλλίστῃ τῇ αὐτῇ ταύτῃ, ἀπόγονοι Μεμβλιάρεω τοῦ Ποικίλεω, ἀνδρὸς Φοίνικος. Κάδμος γὰρ ὁ Αγήνορος, Εὐρώπην διζήμενος, προσέσχε ἐς τὴν νῦν Θή-

[d] τῷ τρόπῳ τούτῳ. [e] ἀδελφιδῶν.

rint, et hoc modo erepti rursus ad T
getum consederunt.

147. Hac eadem tempestate The
Autesionis filius, Tisameni nepos, T
sandri pronepos, Polynicis abnepos,
sus est in coloniam ex Lacedaemone.
rat hic Theras genere Cadmeo, avu
lus Aristodemi filiorum, Eurystheni
Proclis: quorum, quum pupilli essent
telarem habebat regni Spartani cu
Adultis mox sororis filiis, ac recepto
perio, Theras ita graviter tulit sibi a
liis imperari, quoniam imperium gu
set, ut negaret se Lacedaemone mor
rum, sed ad cognatos navigaturum. E
autem in insula, quae nunc Thera v
tur, quondam Callista, posteri Mem
ris Poecilis filii qui fuerat Phoenix. C
mus enim Agenoris filius Europam q
ritans, in insulam quae nunc Thera

catur quum appulsus esset, sive regionis amore captus, sive qua alia voluntate, relinquit illic cum alios quosdam Phoenices, tum Membliarem consanguineum suum. Isti hominum aetatibus octo antequam Theras Lacedaemone venisset, insulam quae Callista vocabatur, incoluerunt.

148. Ad quos Theras cum multitudine ex tribubus petita discessit nequaquam ad illos ejiciendos, sed ad una habitandum, et valde concilians. Postea vero quàm Minyas e carcere elapsos et ad Teygetum considentes, Lacedaemonii necare deliberant, Theras necem eorum deprecabatur ne fieret, recipiens se illos ex regione abducturum. Et huic postulato Lacedaemoniis assentientibus, cum tribus triginta remorum navibus ad posteros Membliaris navigavit, ducens secum non universos Minyas, sed paucos quos-

ϛην καλεομένην· προσχόντι δὲ, εἴτε δή οἱ ἡ χώρη ἤρεσε, εἴτε κ͵ ἄλλως ἠθέλησε ποιῆσαι τȣ͂το, καταλείπει γὰρ ἐν [f] τῇ νήσῳ ταύτῃ ἄλλȣς τε τῶν Φοινίκων, κ͵ δὴ καὶ τῶν ἑωϋτȣ͂ συγγενέων Μεμβλίαρον. ȣ͂τοι ἐνέμοντο τὴν Καλλίϛην καλεομένην ἐπὶ γενεὰς, πρὶν ἢ Θήραν ἐλθεῖν ἐκ Λακεδαίμονος, ὀκτὼ ἀνδρῶν.

ρμή. Επὶ τȣ́τοις δὴ ὦν ὁ Θήρας λαὸν ἔχων ἀπὸ τῶν Φυλέων, ἔϛελλε συνοικίσων τȣ́τοισι· κ͵ ȣ̓δαμῶς ἐξελῶν αὐτȣ̀ς, ἀλλὰ κάρτα οἰκηϊεύμενος. ἐπεί τε δὲ καὶ οἱ Μινύαι ἐκδράντες ἐκ τῆς ἑρκτῆς ἵζοντο ἐς τὸ Τηΰγετον, τῶν Λακεδαιμονίων βȣλευομένων [g] σφέας ἀπολλύναι, παραιτέεται ὁ Θήρας ὅκως μήτε φόνος γένηται, αὐτός τε ὑπεδέκετό σφεας ἐξάξειν ἐκ τῆς χώρης. συγχωρησάντων δὲ τῇ γνώμῃ τῶν Λακεδαιμονίων, τρισὶ τριηκοντέροισι ἐς τȣ̀ς Μεμβλιάρεω ἀπογόνȣς ἔπλωσε· οὔτι πάντας ἄγων τȣ̀ς Μινύας, ἀλλ' ὀλίγȣς τινάς. οἱ

[f] καταλείπει ἐν. [g] βȣλομένων.

γὰρ πλεῦνες αὐτῶν ἐτράποντο ἐς τοὺς Παρωρεάτας καὶ Καύκωνας. τούτους δὲ ἐξελάσαντες ἐκ τῆς χώρης, σφέας ἑωϋτοὺς ἐς ἓξ μοίρας διεῖλον· καὶ ἔπειτα ἔκτισαν πόλιας τάσδε ἐν αὐτοῖσι· Λέπρεον, Μάγιστον, Θριξὰς, Πύργον, Ἔπιον, Νούδιον. τουτέων δὲ τὰς πλεῦνας ἐπ' ἐμέο Ἠλεῖοι ἐπόρθησαν· τῇ δὲ νήσῳ ἐπὶ τοῦ [a] οἰκιστέω Θήρα ἡ ἐπωνυμίη ἐγένετο.

ρμθ'. Ὁ δὲ παῖς, οὐ γὰρ ἔφη οἱ συμπλεύσεσθαι, τοιγαρῶν [b] ἔφη αὐτὸν καταλείψειν ὄϊν ἐν λύκοισι· ἐπὶ τοῦ [c] ἔπεος τούτου τὸ οὔνομα τῷ νεηνίσκῳ τούτῳ Οἰόλυκος ἐγένετο· καί κως τὸ οὔνομα τοῦτο [d] ἐπεκράτησε. Οἰολύκου δὲ γίνεται Αἰγεὺς ἐπ' οὗ [e] Αἰγεῖδαι καλεῦνται, φυλὴ μεγάλη ἐν Σπάρτῃ. τοῖσι δὲ ἐν τῇ φυλῇ ταύτῃ ἀνδράσι (οὐ γὰρ ὑπέμειναν τὰ τέκνα) ἱδρύσαντο ἐκ θεοπροπίου Ἐριννύων τῶν Λαΐου τε καὶ Οἰδιπόδεω ἱρόν· καὶ μετὰ τοῦτο, ὑπέμεινε τὠυτὸ τοῦτο καὶ ἐν Θήρῃ τοῖσι

[a] νήσῳ ἀπὸ τοῦ. [b] τοιγαροῦν. [c] λύκοισι ἀπὸ τοῦ. [d] καί κως τοῦτο. [e] ἀπ' οὗ.

dam, quia plurimi ex ipsis ad Paroreatas Cauconasque diverterunt, quos quum e regione expulissent, seipsos in sex partes distribuerunt, et totidem illic oppida condiderunt, Lepreum, Magistum, Thrixas, Pyrgum, Epium, Nudium, quorum pleraque Elei memoria mea deleverunt. Insulae autem à conditore Thera nomen est inditum.

149. At filius omnino negabat se cum eo navigaturum; propterea dixit se relicturum ovem in lupis. ex quo dicto nomen adolescenti impositum est Oiolycus, et id nomen valuit. Oiolyco natus est filius Aegeus, a quo vocantur Aegidae, in Sparta ingens tribus. Ex hac tribu viri, quum sibi non permanerent filii, ex oraculo delubrum Erinnyum Laji et Oedipodis extruxerunt: quod ipsum postea in Thera mansit illis qui ex his

viris procreati fuere.

150. Hactenus Lacedaemonii in narrando cum Theraeis consentiunt: quod deinceps contigit, soli Theraei factum hoc modo esse memorant. Grinus, Aesani filius, ab hoc Thera oriundus, quum esset Therae insulae rex, contulit se Delphos, ducens ex urbe sacrificium centum victimarum, comitantibus eum tum aliis civibus, tum etiam Batto, filio Polymnesti, apud Minyas prosapia ex Euthymi posteris. Consulenti autem Grino Theraeorum regi de aliis rebus, 'Pythia re-'spondit, urbem in Africa condere.' Cui vicissim iste, 'Equidem (inquit) ego, ô 'domine, senior sum et gravis ad moli-'endum: tu vero quempiam horum jube 'ista facere.' Simul haec dicens, Battum ostendebat. Haec hactenus. Deinde ubi reversi sunt, pro nihilo habuere responsum; neque ubi terrarum Africa esset

ἀπὸ τῶν ἀνδρῶν τούτων γεγονόσι.

ρν΄. Μέχρι μέν νυν τούτου τοῦ λόγου Λακεδαιμόνιοι Θηραίοισι κατὰ ταυτὰ λέγουσι· τὸ δὲ ἀπὸ τούτου μοῦνοι Θηραῖοι ὧδε γενέσθαι λέγουσι. Γρῖνος ὁ Αἰσανίου ἐὼν Θήρα τούτου ἀπόγονος, καὶ βασιλεύων Θήρης τῆς νήσου, ἀπίκετο ἐς Δελφοὺς, ἄγων ἀπὸ τῆς πόλιος ἑκατόμβην. εἵποντο δέ οἱ καὶ οἱ ἄλλοι τῶν πολιητέων, καὶ δὴ καὶ Βάττος ὁ Πολυμνήστου, ἐὼν γένος Εὐθυμίδης [a] τῶν Μινυέων. χρεωμένῳ δὲ τῷ Γρίνῳ τῷ βασιλέϊ τῶν Θηραίων περὶ ἄλλων, ‘ χρᾷ ἡ ‘ Πυθίη κτίζειν ἐν Λιβύῃ πόλιν.’ ὁ δὲ ἀμείβετο λέγων, ‘ Εγὼ μὲν, ὦναξ, πρεσ- ‘ βύτερός τε ἤδη εἰμὶ, καὶ βαρὺς ἀείρεσθαι· ‘ σὺ δέ τινα τῶνδε [b] τῶν νεωτέρων κέλευε ‘ ποιέειν τάδε.’ ἅμα τε ἔλεγε ταῦτα, καὶ ἐδείκνυε ἐς τὸν Βάττον. τότε μὲν τοσαῦτα. μετὰ δὲ, ἀπελθόντες, ἀλογίην εἶχον τοῦ χρηστηρίου, οὔτε Λιβύην εἰδότες ὅκου

[a] Εὐθυμίδης. [b] Haec vox τῶνδε non est in MS, et statim κέλευε ταῦτα ποιέειν. ἅμα τε.

γῆς εἴη, ὔτε τολμῶντες ἐς ἀφανὲς χρῆμα ἀποστέλλειν ἀποικίην.

ρνα΄. Ἑπτὰ δὲ ἐτέων μετὰ ταῦτα ὐκ ὗε τὴν Θήρην· ἐν τοῖσι τὰ δένδρεα πάντα σφι τὰ ἐν τῇ νήσῳ, πλὴν ἑνὸς, ἐξαυάνθη. χρεωμένοισι δὲ τοῖσι Θηραίοισι προέφερε ἡ Πυθίη τὴν ἐς Λιβύην ἀποικίην. ἐπεί τε δὲ κακῦ ὐδὲν ἦν σφι μῆχος [c], πέμπουσι ἐς Κρήτην ἀγγέλυς, διζημένυς εἴ τις Κρητῶν ἢ μετοίκων ἀπιγμένος εἴη ἐς Λιβύην. περιπλανώμενοι δὲ αὐτὴν οὗτοι, ἀπίκοντο καὶ ἐς Ιτανον πόλιν. ἐν ταύτῃ δὲ συμμίσγυσι ἀνδρὶ πορφυρέϊ, τῷ οὔνομα ἔην Κορώβιος· ὃς ἔφη ὑπ᾽ ἀνέμων ἀπενειχθεὶς ἀπικέσθαι ἐς Λιβύην, καὶ Λιβύης ἐς Πλατέαν [d] νῆσον. μισθῷ δὲ τῦτον πείσαντες ἦγον ἐς Θήρην. ἐκ δὲ Θήρης ἔπλεον κατάσκοποι ἄνδρες, ταπρῶτα οὐ πολλοί. κατηγησαμένου δὲ τῦ Κορωβίυ ἐς τὴν νῆσον ταύτην δὴ τὴν Πλατέαν, τὸν μὲν Κορώβιον λείπυσι, σιτία καταλιπόντες ὅσον δύο μηνῶν [e] αὐτοὶ

[c] μῆχος. [d] Sic MS. ubique habet, non Πλατείαν. [e] MS. ὅσον δὴ μηνῶν.

gnari, neque in negotium ignotum coloniam mittere audentes.

151. Septem post haec annos quum in Thera non pluisset, et omnes ipsis praeter unam arbores in insula exaruissent, consulentibus Theraeis Pythia objecit coloniam in Africam. Illi, quoniam nullum mali remedium erat, mittunt in Cretam nuncios investigatum, siquis aut indigenarum aut advenarum illic esset qui in Africam navigasset. Nuncii, quum Cretam pererrassent, et ad urbem Itanum pervenissent, in ea notitiam contraxerunt cum purpurario, cui nomen erat Corobius; is ajebat se ventis abreptum in Africam applicuisse ad Plateam insulam Africae. Hunc nuncii mercede inductum in Theram duxerunt. Verum non multi ad rem explorandam ex Thera primo profecti sunt; sed quum ipse in eam insulam deduxisset Corobius, relinquunt eum cum duorum circiter mensium ciba-

riis; ipsi vero quamcelerrime navigaverunt ad renunciandum de insula civibus.

152. Quibus ultra praestitutum tempus redire differentibus, omnia Corobio deerant: sed appulsa in insulam Plateam navi Samia quae versus Aegyptum navigabat (cujus gubernator erat Colaeus) Samii, omni re gesta a Corobio audita, in annum homini cibaria reliquerunt. Ipsi ex hac insula quum solvissent, Aegyptum optantes, vento subsolano abrepti navigabant: nec intermittente flatu, Herculeas transvecti columnas, pervenerunt in Tartessum, divina vi eos mittente. Erat ea tempestate id emporium intemeratum, adeo ut inde revertentes isti ex mercibus quaestum maximum fecerint inter omnes quos novimus Graecos, duntaxat post Sostratum Laodamantis filium Aeginetam, cum quo nemo possit contendere.

δὲ ἔπλεον τὴν ταχίστην ἀπαγγελέοντες Θηραίοισι περὶ τῆς νήσου.

ρνβ΄. Ἀποδημεόντων δὲ τούτων πλέω χρόνον τοῦ συγκειμένου, τὸν Κορώβιον ἐπέλιπε τὰ πάντα. μετὰ δὲ, νηῦς Σαμίη, τῆς ναύκληρος ἦν Κωλαῖος, πλέουσα ἐπ᾽ Αἰγύπτου [a], ἀπηνείχθη ἐς τὴν Πλατέαν ταύτην. πυθόμενοι δὲ οἱ Σάμιοι παρὰ τοῦ Κορωβίου τὸν πάντα λόγον, σιτία οἱ ἐνιαυτοῦ καταλείπουσι· αὐτοὶ δὲ ἀναχθέντες ἐκ τῆς νήσου, καὶ γλιχόμενοι Αἰγύπτου, ἔπλεον, ἀποφερόμενοι ἀπηλιώτῃ ἀνέμῳ. καὶ, οὐ γὰρ ἀνίει τὸ πνεῦμα, Ἡρακλέας στήλας διεκπερήσαντες, ἀπίκοντο ἐς Ταρτησσὸν, θείῃ πομπῇ χρεώμενοι. τὸ δὲ ἐμπόριον τοῦτο ἦν ἀκήρατον τοῦτον τὸν χρόνον· ὥστε ἀπονοστήσαντες οὗτοι ὀπίσω, μέγιστα δὴ Ἑλλήνων πάντων, τῶν ἡμεῖς ἀτρεκίην ἴσμεν, ἐκ φορτίων ἐκέρδησαν, μετά γε Σώστρατον τὸν Λαοδάμαντος, Αἰγινήτην. τούτῳ γὰρ οὐκ οἷά τέ ἐστι ἐρίσαι ἄλλον. οἱ δὲ

[a] ἐπ᾽ Αἰγύπτου.

Σάμιοι τὴν δεκάτην τῶν ἐπικερδέων ἐξελόντες ἓξ τάλαντα, ἐποιήσαντο χαλκήϊον, κρητῆρος Αργολικοῦ τρόπον. πέριξ δὲ αὐτὸ [b], γρυπῶν κεφαλαὶ πρόκροσσοί εἰσι· καὶ ἀνέθηκαν ἐς τὸ Ἥραιον, ὑποστήσαντες αὐτῷ τρεῖς χαλκέους κολοσσοὺς ἑπταπήχεας, τοῖσι γούνασι ἐρηρεισμένους. Κυρηναίοισι δὲ καὶ Θηραίοισι ἐς Σαμίους ἀπὸ τούτου τοῦ ἔργου πρῶτα φιλίαι μεγάλαι συνεκρίθησαν [c].

ρνγ΄. Οἱ δὲ Θηραῖοι, ἐπεί τε, τὸν Κορώβιον λιπόντες ἐν τῇ νήσῳ, ἀπίκοντο ἐς τὴν Θήρην, ἀπήγγελλον ὥς σφι εἴη νῆσος ἐπὶ Λιβύῃ ἐκτισμένη. Θηραίοισι δὲ ἕαδε ἀδελφεόν τε ἀπ᾽ ἀδελφεοῦ [d] πέμπειν πάλῳ λαγχάνοντα [e], καὶ ἀπὸ τῶν χώρων ἁπάντων ἑπτὰ ἐόντων, ἄνδρας. εἶναι δέ σφεων καὶ βασιλέα καὶ ἡγεμόνα Βάττον. οὕτω δὴ στέλλουσι δύο πεντηκοντέρους ἐς τὴν Πλατέαν.

ρνδ΄. Ταῦτα δὲ Θηραῖοι λέγουσι· τὰ

[b] αὐτοῦ. [c] MS. συνεκρίθησαν. [d] ἐπ᾽ ἀδελφεοῦ. [e] λαχόντα.

Ex hoc quaeſtu Samii decima (id eſt ſex talentis) exempta, fecerunt ahenum ad exemplum crateris Argolici, gryphum capitibus in circuitu altrinſecus obverſis: et in templo Junonis collocarunt, ſuſtinentibus illud tribus coloſſis ſeptenûm cubitorum, genu nixis. Ex hoc facto primum ingens amicitia Cyrenaeis Theraeiſque cum Samiis contracta eſt.

153. Theraei, ubi relicto in inſula Corobio ad Theram reverſi renunciarunt eſſe illis inſulam Africae appoſitam conditam, placuit Theraeis ut e ſingulis oppidis, quae ſeptem erant, viri mitterentur, fratribus inter ſe ſortitis uter mitteretur, et rex ſimul eorum ac dux foret Battus. Ita duas quinquaginta remorum naves in Plateam miſerunt.

154. Haec Theraei memorant. Co-

tera jam Theraeis cum Cyrenaeis conveniunt. nam quod ad Battum pertinet, Cyrenaei nequaquam cum Theraeis consentiunt. sic enim narrant. Est in Creta oppidum Oaxus, in quo fuit Etearchus rex. hic amissa uxore, induxit filiae, nomine Phronimae, novercam: quae domum ingressa, ut erat, ita re ipsa se Phronimae novercam praestitit, cum laedendo atque omne genus injuriarum excogitando, tum ad extremum impudicitiam exprobrando: atque ita rem habere viro persuasit. Iste ab uxore deceptus rem de filia nefariam commentus est. Erat in Oaxo negotiator quidam Theraeus, nomine Themison: hunc ad hospitii sacra acceptum Etearchus jurejurando obstringit, ut quam rem oraret, in ea se ministrum praeberet. Ubi hominem jurejurando adegit, adductam ei tradidit filiam suam; jubens ut eam abductam in mare demergeret. The-

δὲ ἐπίλοιπα τοῦ λόγου, συμφέρονται ἤδη Θηραῖοι Κυρηναίοισι. Κυρηναῖοι γὰρ τὰ περὶ Βάττον οὐδαμῶς ὁμολογέουσι Θηραίοισι. λέγουσι γὰρ οὕτω· ἔστι τῆς Κρήτης Οαξὸς πόλις· ἐν τῇ ἐγένετο Ετέαρχος βασιλεύς. ὃς ἐπὶ θυγατρὶ ἀμήτορι, τῇ οὔνομα ἦν Φρονίμη, ἐπὶ ταύτῃ ἔγημε ἄλλην γυναῖκα. ἡ δὲ ἐπεσελθοῦσα ἐδικαίευ εἶναι καὶ τῷ ἔργῳ μητρυιὴ τῇ Φρονίμῃ, παρέχουσά τε κακὰ, καὶ πᾶν ἐπ' αὐτῇ μηχανωμένη· καὶ τέλος, μαχλοσύνην ἐπενεγκοῦσά οἱ [a], πείθει τὸν ἄνδρα ταῦτα ἔχειν οὕτω· ὁ δὲ, ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς, ἔργον οὐκ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηραῖος ἔμπορος ἐν τῇ Οαξῷ· τοῦτον ὁ Ετέαρχος παραλαβὼν ἐπὶ ξείνια [b], ἐξορκοῖ ἦ μήν οἱ διηκονήσειν ὅ, τι ἂν δεηθῇ. ἐπεί τε δὲ ἐξώρκωσε, ἀγαγών οἱ παραδιδοῖ τὴν ἑωϋτοῦ θυγατέρα· καὶ ταύτην ἐκέλευε καταποντῶσαι ἀπαγαγόντα. ὁ δὲ

[a] ἐπενείκασά οἱ. [b] ἐπὶ ξεινίῃ.

Θεμίσων, περιημεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκȣ, καὶ διαλυσάμενος [c] τὴν ξενίην, ἐποίεε τοιάδε· παραλαβὼν τὴν παῖδα ἀπέπλεε. ὡς δὲ ἐγένετο ἐν τῷ πελάγεϊ, ἀποσιεύμενος [d] τὴν ἐξόρκωσιν τοῦ Ετεάρχου, χοινίοισι [e] αὐτὴν διαδήσας κατῆκε ἐς τὸ πέλαγος· ἀνασπάσας δὲ ἀπίκετο ἐς τὴν Θήρην.

ρνέ. Ενθεῦτεν δὲ τὴν Φρονίμην παραλαβὼν Πολύμνηστος, ἐὼν τῶν Θηραίων ἀνὴρ δόκιμος, ἐπαλλακεύετο· χρόνȣ δὲ περιϊόντος ἐξεγένετό οἱ παῖς ἰσχνόφωνος καὶ τραυλὸς, τῷ ȣ̓́νομα ἐτέθη Βάττος, ὡς Θηραῖοί τε καὶ Κυρηναῖοι λέγȣσι. ὡς μέντοι ἐγὼ δοκέω, ἄλλό τι· Βάττος δὲ μετωνομάσθη ἐπεί τε ἐς Λιβύην ἀπίκετο, ἀπό τε τȣ̃ χρηστηρίου τοῦ γενομένου ἐν Δελφοῖσι αὐτῷ, καὶ ἀπὸ τῆς τιμῆς ἣν ἔσχε [f], τὴν ἐπωνυμίην ποιεύμενος. Λίβυες γὰρ τὸν βασιλέα Βάττον καλέȣσι. καὶ τούτȣ εἵνεκα δοκέω θεσπίζȣσαν τὴν Πυθίην, καλέσαι

[c] ὅρκȣ, διαλυσάμενος. [d] ἀποσκευόμενος. [e] σχοινίοισι. [f] MS. τηνδ' ἔσχε.

mison tristi animo ferens se deceptum jurejurando et hospitium gravatus ita sibi faciendum putavit: accepta puella mare ingressus, quum in alto fuit, jurijurando quod instituerat Etearchus satisfaciens, revinctam funibus puellam dimisit in pelagus: ea deinde retracta Theram pervenit.

155. Ibi Polymnestus, vir inter Theraeos spectatus, in concubinatum Phronimam accepit, ex qua interjecto tempore natus est ei filius, sono vocis exili ac balbutienti, cui nomen impositum est Batto, ut Theraei et Cyrenaei ajunt: ut autem ego sentio, aliud aliquod; sed eum cognominatum Battum, postquam in Africam abiit, cum propter oraculum apud Delphos sibi redditum, tum propter honorem quem assequutus est. Battum enim Afri regem appellant, et ob id reor Pythiam quum oraculum reddidit, lingua Africana vocasse Battum, quia noverat futurum re-

gem esse in Africa. Hic enim, ubi in virilem adolevit aetatem, Delphos adiit de voce. Cui consulenti Pythia respondit.

Batte ades ad vocem, sed tu, Rex Phoebus Apollo,
Lanigeram in Libyam venias, vult, conditor urbis.

Perinde ac si lingua Graeca oraculum reddens dixisset, 'O rex, vocis caussa venisti.' Ad haec Battus sic vicissim inquit, 'O Rex, ego ad te veni gratia consulendi de voce: tu de aliis mihi respondes quae nequeunt fieri, jubens colonos ducere in Africam. qua copia? quave manu?' Haec loquens non persuasit illi ut alia responderet; sed eadem quae prius respondente, illinc digressus abiit in Theram.

156. Mox deinde et huic ipsi et ceteris Theraeis male cedebat; sed ignorantes casuum originem mittunt Delphos de praesentibus adversis. Quibus quum respondisset Pythia, melius cum ipsis ac-

μιν Λιβυκῇ γλώσσῃ, εἰδυῖαν ὡς βασιλεὺς ἔσται ἐν Λιβύῃ. ἐπεί τε γὰρ ἠνδρώθη οὗτος, ἦλθε ἐς Δελφοὺς περὶ τῆς φωνῆς· ἐπειρωτέοντι δέ οἱ χρᾷ ἡ Πυθίη τάδε,

Βάττ᾽, ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
Ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα.

ὥσπερ εἰ εἴποι Ἑλλάδι γλώσσῃ χρεωμένη, ‘Ω βασιλεῦ, ἐπὶ φωνὴν ἦλθες.’ ὁ δ᾽ ἀμείβετο τοῖσδε, ‘Ω ̓͂ναξ, ἐγὼ μὲν ἦλθον παρά σε χρησόμενος περὶ τῆς φωνῆς· σὺ δέ μοι ἄλλα ἀδύνατα χρᾷς, κελεύων Λιβύην ἀποικίζειν. τέῳ δυνάμει; κοίῃ χειρί;’ ταῦτα λέγων, οὐκὶ [a] ἔπειθε ἄλλα οἱ χρᾶν. ὡς δὲ κατὰ ταυτὰ ἐθέσπιζέ οἱ ἡ καὶ [b] πρότερον, οἴχετο μεταξὺ ἀπολιπὼν ὁ Βάττος ἐς τὴν Θήρην.

ρνϛ΄. Μετὰ δὲ, αὐτῷ τε τούτῳ καὶ τοῖσι ἄλλοισι Θηραίοισι συνεφέρετο παλιγκότως. ἀγνοεῦντες δὲ τὰς συμφορὰς οἱ Θηραῖοι, ἔπεμπον ἐς Δελφοὺς περὶ τῶν παρεόντων κακῶν. ἡ δὲ Πυθίη σφι ἔχρη-

[a] οὐ κη. [b] MS. tantum habet οἱ ἢ.

σε, συγκλίζουσι Βάττῳ Κυρήνην τῆς Λιβύης ἄμεινον πρήξειν. ἀπέστελλον μετὰ ταῦτα τὸν Βάττον οἱ Θηραῖοι δύο πεντηκοντέροισι. πλώσαντες δὲ ἐς τὴν Λιβύην οὗτοι, (οὐ γὰρ εἶχον ὅ, τι ποιέωσι ἄλλο) ὀπίσω ἀπαλλάσσοντο ἐς τὴν Θήρην. οἱ δὲ Θηραῖοι καταγομένους ἔβαλλον, καὶ οὐκ ἔων τῇ γῇ προσίσχειν, ἀλλ' ὀπίσω πλώειν ἐκέλευον· οἱ δὲ, ἀναγκαζόμενοι, ὀπίσω ἀπέπλεον. καὶ ἔκτισαν νῆσον ἐπὶ Λιβύῃ κειμένην, τῇ οὔνομά ἐστι (ὡς καὶ πρότερον εἰρήθη) Πλάτεα. λέγεται δὲ ἴση εἶναι ἡ νῆσος τῇ νῦν Κυρηναίων πόλι.

ρνζ΄. Ταύτην οἰκέοντες δύο ἔτεα, οὐδὲν γάρ σφι χρηστὸν συνεφέρετο, ἕνα αὐτῶν καταλιπόντες, οἱ λοιποὶ πάντες ἀπέπλεον ἐς Δελφούς. ἀπικόμενοι δὲ ἐπὶ τὸ χρηστήριον, ἐχρέωντο, φάμενοι οἰκέειν τε τὴν Λιβύην, καὶ οὐδὲν ἄμεινον πρήσσειν οἰκεῦντες. ἡ δὲ Πυθίη σφι πρὸς ταῦτα χρᾷ τάδε,

tum iri, ſi Cyrenen in Africa conderent cum Batto, miſerunt Theraei Battum cum duabus quinquaginta remorum navibus. Iſti in Africam profecti (quandoquidem non aliud habebant quod agerent) retro ad Theram ſe receperunt. Sed eos Theraei arcentes acceſſu Therae repellebant, ac rurſus reverti jubebant. neceſſitate adacti, remenſo iterum mari, condiderunt oppidum in inſula Africae adjacenti, nomine ut prius dictum eſt, Platea, quae fertur Cyrenaeorum urbi quae nunc eſt, par eſſe magnitudine.

157. Hanc biennio incolentibus, quum nihilo melius ſecum ageretur, uno e ſuis relicto, ceteri Delphos navigaverunt ad oraculum conſulendum. Eo poſtquam venerunt, ſciſcitantibus quid ita ſecum in Africam profectis nihilo tamen melius ageretur, Pythia reſpondit his verbis,

Lanigerae Libyae fcis quam nec adiveris urbem,
Me melius: tuum ego ingenium mirabor euntis.

His auditis, ii qui cum Batto erant, rurfus abnavigarunt. neque enim dimittebat eos deus ab colonia priusquam in Africam ipfam devenissent. Reverfi ad infulam, recepto quem reliquerant, condiderunt locum in Africa ipfa, e regione infulae, nomine Aziriftum, amoenissimis collibus utrinque conclufum, et alterum latus flumine praeterlabente.

158. Hunc locum fex annis quum incoluissent, feptimo deprecantes Afri perfuaferunt relinquere, ut in meliorem tranfirent. Ita illinc eos Afri quum excivissent, vefperum verfus et ad locorum fpeciofiffimum duxerunt, et quidem noctu, ne Graeci interdiu facientes iter, diurnum fpatium metiendo animadverterent. Eft autem huic loco nomen Irafa. Eos, ubi ad fontem qui Apollinis effe

Ἀσυ[c] ἐμεῦ Λιβύην μηλοτρόφον οἶδας ἄμεινον
Μὴ ἐλθών. ἐλθόντος ἄγαν ἄγαμαι σοφίην σεῦ.

ἀκούσαντες δὲ τούτων[d] οἱ ἀμφὶ τὸν Βάττον, ἀπέπλωον ὀπίσω. οὐ γάρ δή σφεας ἀπίει ὁ θεὸς τῆς ἀποικίης, πρὶν δὴ ἀπίκωνται ἐς αὐτὴν Λιβύην. ἀπικόμενοι δὲ ἐς τὴν νῆσον, καὶ ἀναλαβόντες τὸν ἔλιπον, ἔκτισαν αὐτῆς τῆς Λιβύης χῶρον ἀντίον τῆς νήσου τῷ[e] οὔνομα ἦν Ἀζίριστον. νάπαι τε κάλλισται ἐπ᾽ ἀμφότερα συγκλείουσι, καὶ ποταμὸς τὰ ἐπὶ θάτερα παραῤῥέει.

ρκη᾽. Τοῦτον οἴκεον τὸν χῶρον ἓξ ἔτεα· ἑβδόμῳ δέ σφεας ἔτεϊ παραιτησάμενοι Λίβυες, ὡς ἐς ἀμείνονα[f] χῶρον ἄξουσι, ἀνέγνωσαν ἐκλιπεῖν. ἦγον δέ σφεας ἐνθεῦτεν οἱ Λίβυες ἀναστήσαντες πρὸς ἑσπέρην, καὶ τὸν κάλλιστον τῶν χώρων· ἵνα διεξιόντες οἱ Ἕλληνες μὴ ἴδοιεν, συμμετρησάμενοι τὴν ὥρην τῆς ἡμέρης, νυκτὸς παρεξῆγον. ἔστι δὲ τῷ χώρῳ τούτῳ οὔνομα Ιρασα. ἀγαγόντες δέ σφεας ἐπὶ κρήνην λεγομένην εἶναι

[c] αἶτυ. [d] ἀκούσαντες τούτων. [e] τῇ. [f] ὡς ἀμείνονα.

Απόλλωνος, εἶπαν, ‘ Ἄνδρες Ἕλληνες, ‘ ἐνθαῦτα μὲν ἐπιτήδεον [a] οἰκέειν· ἐνθαῦ‘ τα γὰρ ὁ ὐρανὸς τέτρηται.’

ρνθ'. Ἐπὶ μέν νυν Βάττεω τοῦ οἰκιστέω τῆς Ζόης ἄρξαντος ἐπὶ τεσσεράκοντα ἔτεα, καὶ τοῦ παιδὸς αὐτοῦ Ἀρκεσίλεω ἄρξαντος ἑκκαίδεκα ἔτεα, οἴκεον οἱ Κυρηναῖοι, ἐόντες τοσοῦτοι ὅσοι ἀρχὴν ἐς τὴν ἀποικίην ἐστάλησαν· ἐπὶ δὲ τοῦ τρίτου Βάττεω, τοῦ Εὐδαίμονος καλεομένου, Ἕλληνας πάντας ὥρμησε χρήσασα ἡ Πυθίη πλέειν, συνοικήσοντας Κυρηναίοισι Λιβύην. ἐπεκαλέοντο γὰρ οἱ Κυρηναῖοι ἐπὶ γῆς ἀναδασμῷ. ἔχρησε δὲ ὧδε ἔχοντα,

Ὃς δέ κεν ἐς Λιβύην πολυήρατον ὕστερον ἔλθῃ
Γᾶς ἀναδαιομένας, μετά οἱ πόκα φαμὶ μελήσειν,

συλλεχθέντος δὲ ὁμίλου πολλοῦ ἐς τὴν Κυρήνην, περιταμνόμενοι γῆν πολλὴν οἱ περίοικοι Λίβυες, καὶ ὁ βασιλεὺς αὐτῶν, τῷ οὔνομα ἦν Ἀδικράν, οἷα τῆς τε χώρης στερισκόμενοι, καὶ περιϋβριζόμενοι ὑπὸ τῶν Κυρη-

[a] ἐνθαῦτα ὑμῖν ἐπιτήδειον.

fertur, duxerunt, inquiunt, 'Viri Graeci, 'hic vobis incolere commodum eſt, ubi 'coelum foratum eſt.'

159. Sub Batto igitur, qui condidit Zoam, et annos quadraginta regnavit, et ſub ejus filio Arceſilao, qui regnavit annos ſexdecim, Cyrenaei habitaverunt tot omnino quot in coloniam miſſi fuerant. Sub tertio autem Batto, qui Felix eſt appellatus, cunctos Graecos ad navigandum, ut Africam cum Cyrenaeis habitarent, induxit ſuo oraculo Pythia. Nam arceſſebant Cyrenaei ad agri partitionem. Induxit autem haec verba reſpondens,

Serior in Libyen quiſquis pervenerit almam
Poſt diſcretum agrum, mox hunc, affirmo, pigebit.

Quum ergo ingens multitudo Cyrenen ſe contuliſſet, finitimi Afri ſpoliati magna agrorum parte eorumque rex, nomine Adicran, quippe agris exuti et contumelioſe habiti a Cyrenaeis, miſſis in Aegyptum

quibuſdam, ſeſe dediderunt Apriae Aegypti regi. Iſte comparatum grandem Aegyptiorum exercitum miſit adverſus Cyrenen. Cyrenaei, inſtructa apud Iraſa locum et ad fontem Theſten acie, cum Aegyptiis conflixerunt, eoſque ſuperaverunt, utpote inexpertos antea atque contemptores Graecorum: adeoque profligarunt ut pauci ex eis in Aegyptum redirent. Qua de re Aegyptii ſuccenſentes Apriae, ab eo deſciverunt.

160. Hujus autem Batti filius extitit Arceſilaus, qui regnum adeptus, inter initia cum fratribus ſuis ſeditiones exercuit, donec illi relicto eo in aliam Africae locum migraverunt, ubi inter ſe deliberantes urbem hanc condiderunt, quae, ut tunc, Barce nunc appellatur. Et inter condendum Afros ſollicitabant ad deficiendum a Cyrenaeis. Arceſilaus tam illis,

ναίων, πέμψαντες ἐς Αἴγυπτον ἔδοσαν σφέας αὐτοὺς Απρίῃ τῷ Αἰγύπτου βασιλέϊ. ὁ δὲ, συλλέξας στρατὸν Αἰγυπτίων πολλὸν, ἔπεμπε ἐπὶ τὴν Κυρήνην· οἱ δὲ Κυρηναῖοι ἐκστρατευσάμενοι ἐς Ιρασα χῶρον, καὶ ἐπὶ κρήνην Θέστην [b], συνέβαλόντε τοῖσι Αἰγυπτίοισι, καὶ ἐνίκησαν τῇ συμβολῇ. ἅτε γὰρ οὐ πεπειρημένοι πρότερον Αἰγύπτιοι Ἑλλήνων, καὶ παραχρεώμενοι, διεφθάρησαν οὕτω ὥστε ὀλίγοι τινὲς αὐτέων ἀπενόστησαν ἐς Αἴγυπτον. ἀντὶ τούτων Αἰγύπτιοι κατὰ ταυτὰ ἐπιμεμφόμενοι Απρίῃ, ἀπέστησαν ἀπ' αὐτοῦ.

ρξ'. Τούτου δὲ τοῦ Βάττεω γίνεται παῖς Αρκεσίλεος [c], ὃς βασιλεύσας, πρῶτα τοῖσι ἑωϋτοῦ ἀδελφεοῖσι ἐστασίασε, ἐς ὅ μιν οὗτοι ἀπολιπόντες οἴχοντο ἐς ἄλλον χῶρον τῆς Λιβύης· καὶ ἐπ' ἑωϋτῶν βαλλόμενοι, ἔκτισαν πόλιν ταύτην, ἣ τότε καὶ νῦν Βάρκη καλέεται. κτίζοντες δὲ ἅμα αὐτὴν, ἀπιστᾶσι ἀπὸ τῶν Κυρηναίων τοὺς Λίβυας. με-

b Θέστιν. c Αρκεσίλαος. ut et bis infra.

τὰ δὲ, Αρκεσίλεος ἐς τοὺς ὑποδεξαμένους τε τῶν Λιβύων, καὶ ἀποστάντας τοὺς αὐτοὺς τούτους, ἐστρατεύετο· οἱ δὲ Λίβυες δείσαντες αὐτὸν, οἴχοντο φεύγοντες πρὸς τοὺς ἠοίους τῶν Λιβύων. ὁ δὲ Αρκεσίλεος εἵπετο φεύγουσι· ἐς οὗ ἐν [d] Λεύκωνί τε τῆς Λιβύης ἐγίνετο ἐπιδιώκων, καὶ ἔδοξε τοῖσι Λίβυσι ἐπιθέσθαί οἱ. συμβαλόντες δὲ ἐνίκησαν τοὺς Κυρηναίους τοσοῦτο, ὥστε ἑπτακισχιλίους ὁπλίτας Κυρηναίων ἐνθαῦτα πεσέειν. μετὰ δὲ τὸ τρῶμα τοῦτο, Αρκεσίλεων μὲν κάμνοντά τε καὶ φάρμακον πεπωκότα, ὁ ἀδελφεὸς Αλίαρχος ἀποπνίγει· Αλίαρχον δὲ ἡ γυνὴ Αρκεσίλεω δόλῳ κτείνει, τῇ οὔνομα ἦν Ερυξώ.

ρξα'. Διεδέξατο δὲ τὴν βασιληίην τοῦ [e] Αρκεσίλεω ὁ παῖς Βάττος, χωλός τε ἐὼν [f], καὶ οὐκ ἀρτίπους. οἱ δὲ Κυρηναῖοι πρὸς τὴν καταλαβοῦσαν συμφορὴν, ἔπεμπον ἐς Δελφοὺς, ἐπειρησομένους ὅν τινα τρόπον καταστησάμενοι, κάλλιστα ἂν οἰκέοιεν. ἡ δὲ Πυ-

[d] ἐς ὃ ἐν. [e] βασιληΐην τούτου τοῦ. [f] χωλὸς ἐών.

qui ex Afris eos receperant, quam ipsis iis, qui defecerant, bellum intulit: quem reformidantes Afri, fugam ad orientales Afros intenderunt. Sed fugientibus Arcesilaus usque institit insequendo, dum ad Leuconem Africae perveniret: et Afris visum fuit eum adoriri. Itaque congressi cum eo, adeo superavere Cyrenaeos, ut ex illis septem millia gravis armaturae ibi ceciderint. Post hanc cladem, Arcesilaum aegrotantem epoto medicamento frater Aliarchus strangulavit: sed hunc dolo uxor Arcesilai interfecit, nomine Eryxo.

161. Arcesilao successit in regno puer Battus, claudus, et pedibus non integer. Cyrenaei ob acceptam calamitatem, Delphos miserunt per quosdam interrogatum, quam rationem ineuntes optime habitarent. His Pythia respondens,

jussit ex Mantinea Arcadum adducerent moderatorem. Itaque petentibus Cyrenaeis Mantineenses dederunt quendam nomine Demonactem, virum inter populares probatissimum. Hic igitur vir Cyrenen profectus, ubi singula quaeque edoctus est, tum in tres tribus distribuens illos, ita digessit, ut unam quidem partem faceret Theraeorum atque confinium: alteram autem Peloponnesiorum atque Cretum: tertiam vero, cunctorum insulanorum; tum Batto regi fana ac sacerdotia eximens, alia omnia quae superiores reges obtinuerant, contulit in medium populo.

162. Quae instituta sub hoc quidem Batto sincera permanserunt: verum sub ejus filio Arcesilao de honoribus vehementes sunt excitatae turbae, negante Arcesilao Batti illius claudi et Pheretimae filio se toleraturum quae Mantinensis Demonax constituisset, ac reposcente hono-

θίη ἐκέλευε ἐκ τῆς Μαντινέης τῆς Ἀρκάδων καταρτιστῆρα ἀγαγέσθαι. αἴτιον ὦν οἱ Κυρηναῖοι, κ̀ οἱ Μαντινέες ἔδοσαν ἄνδρα τῶν ἀστῶν δοκιμώτατον, τῷ οὔνομα ἦν Δημῶναξ. οὗτος ὦν ὡνὴρ ἀπικόμενος ἐς τὴν Κυρήνην, καὶ μαθὼν ἕκαστα, τοῦτο μὲν, τριφύλους ἐποίησέ σφεας, τῇδε διαθείς· Θηραίων μὲν γὰρ κ̀ τῶν περιοίκων μίαν μοίρην ἐποίησε· ἄλλην δὲ, Πελοποννησίων καὶ Κρητῶν· τρίτην δὲ, νησιωτέων πάντων. τοῦτο δὲ, τῷ βασιλέϊ Βάττῳ τεμένεα ἐξελὼν, κ̀ ἱρωσύνας, τὰ ἄλλα πάντα τὰ πρότερον εἶχον οἱ βασιλῆες, ἐς μέσον τῷ δήμῳ ἔθηκε.

ρξϛ΄. Ἐπὶ μὲν δὴ τούτου τοῦ Βάττεω, οὕτω διετέλεε ἐόντα· ἐπὶ δὲ τοῦ τούτου παιδὸς Ἀρκεσίλεω πολλὴ ταραχὴ περὶ τῶν τιμέων ἐγένετο. Ἀρκεσίλεως γὰρ ὁ Βάττου τε τοῦ χωλοῦ καὶ Φερετίμης, οὐκ ἔφη ἀνέξεσθαι κατὰ τὰ ὁ Μαντινεὺς Δημῶναξ ἔταξε, ἀλλὰ ἀπαίτεε τὰ τῶν προγόνων

γέρεα. ἐνθεῦτεν ςασιάζων ἑσσώθη, καὶ ἔφυγε ἐς Σάμον· ἡ δὲ μήτηρ οἱ ἐς Σαλαμῖνα τῆς Κύπρου ἔφυγε. τῆς δὲ Σαλαμῖνος τοῦτον τὸν χρόνον ἐπεκράτεε Εὐέλθων, ὃς τὸ ἐν Δελφοῖσι θυμιητήριον ἐὸν ἀξιοθέητον ἀνέθηκε, τὸ ἐν τῷ Κορινθίων θησαυρῷ κέεται. ἀπικομένη δὲ παρὰ τοῦτο ἡ Φερετίμη, ἐδέετο ςρατιῆς, ἣ κατάξει σφέας ἐς τὴν Κυρήνην. ὁ δὲ Εὐέλθων πᾶν μᾶλλον ἢ ςρατιὴν οἱ ἐδίδου· ἡ δὲ, λαμβάνουσα τὸ διδόμενον, καλὸν μὲν ἔφη καὶ τοῦτο εἶναι, κάλλιον δὲ ἐκεῖνο, τὸ δοῦναί οἱ δεομένῃ ςρατιήν. τοῦτο γὰρ ἐπὶ παντὶ τῷ διδομένῳ ἔλεγε. τελευταῖον οἱ ἐξέπεμψε δῶρον ὁ Εὐέλθων ἄτρακτον χρύσεον καὶ ἠλακάτην· προσῆν δὲ καὶ [a] εἴριον. εἰπάσης [b] δὲ αὖτις τῆς Φερετίμης τὠϋτὸ ἔπος, ὁ Εὐέλθων ἔφη, τοιούτοισι γυναῖκας δωρέεσθαι, ἀλλ' οὐ ςρατιῇ.

ρξγ'. Ὁ δὲ Ἀρκεσίλεως τοῦτον τὸν χρόνον ἐὼν ἐν Σάμῳ, συνήγειρε πάντα ἄνδρα

[a] δέ οἱ καὶ. [b] ἐπαπάσης.

res ſuorum majorum. Hinc ſeditione orta, inferior profugit in Samum, mater ejus Salaminem Cypri. Obtinebat ea tempeſtate Salaminis imperium Euelthon, qui Delphis dedicavit thuribulum ſpectatu dignum, quod in theſauro Corinthiorum ſitum eſt. Ad hunc profecta Pheretima precabatur ut ſe filiumque Cyrenen cum exercitu reduceret. Ille omnia potius quam exercitum huic dabat. Pheretima id quod dabatur accipiens, dicere etiam bonum id quidem eſſe, ſed melius facturum eum ſi ei petenti daret exercitum. Quumque identidem ad omnia quae dabantur, hoc diceret, tandem miſit ad eam Euelthon dono fuſum aureum, atque colum penſo circumdatam. dicentique quae conſueverat verba Pheretimae, inquit talibus rebus donari feminas, non exercitu.

163. Arceſilaus interea Sami agens, unumquemque ſolicitabat conditione di-

visionis agrariae: coactoque ingenti exercitu, navigavit Delphos ad consulendum de reditu. Cui Pythia ita respondit, 'Ad 'quatuor Battos, ac totidem Arcesilaos, 'octo hominum aetates dat vobis Apollo 'Cyrene regnare: ulterius vel conari dehortatur. Tibi vero suadet, ut reversus 'in domum tuam, quietem agas. Quod 'si fornacem inveneris plenam amphorarum, ne eas excoquas, sed ad auram e'mittas. Sin fornacem incenderis, ne 'committas ut circumfluam introëas: a'lioqui peribis tu pariter et taurus opti'me opus faciens.'

164. Haec Arcesilao Pythia respondit. Iste sumptis iis qui erant e Samo, rediit Cyrenen: recuperatoque rerum dominio, immemor oraculi, vocatis ad dicendam caussam iis qui contra ipsum in partibus fuerant, objecit culpam fugae

ἐπὶ γῆς ἀναδασμῷ. συλλεγομένου δὲ στρατȣ͂ πολλȣ͂, ἐστάλη ἐς Δελφοὺς Αρκεσίλεως, χρησόμενος τῷ χρηστηρίῳ περὶ κατόδȣ. ἡ δὲ Πυθίη οἱ χρᾷ [c] τάδε, ‘ Επὶ μὲν ‘ τέσσερας Βάττȣς, καὶ Αρκεσίλεως τέσσερας, ὀκτὼ ἀνδρῶν γενεὰς, διδοῖ ὑμῖν Λοξίης βασιλεύειν Κυρήνης. πλέον μέντοι ‘ τούτου οὐδὲ πειρᾶσθαι παραινέει. σὺ ‘ μέντοι ἥσυχος εἶναι, κατελθὼν ἐς τὴν ‘ σεωϋτȣ͂. ἢν δὲ τὴν κάμινον εὕρῃς πλέην ‘ ἀμφορέων, μὴ ἐξοπτήσῃς τοὺς ἀμφορέας, ἀλλ᾽ ἀπόπεμπε κατ᾽ οὖρον· εἰ δὲ ‘ ἐξοπτήσῃς τὴν κάμινον, μὴ εἰσέλθῃς ἐς ‘ τὴν ἀμφίῤῥυτον· εἰ δὲ μὴ, ἀποθανέεαι καὶ ‘ αὐτὸς, καὶ ταῦρος ὁ καλλιστεύων.’

ρξδ΄. Ταῦτα ἡ Πυθίη Αρκεσίλεῳ χρᾷ. ὁ δὲ, παραλαβὼν τȣ̀ς ἐκ τῆς Σάμȣ, κατῆλθε ἐς τὴν Κυρήνην· καὶ ἐπικρατήσας τῶν πρηγμάτων, τȣ͂ μαντηΐȣ ȣ̓κ ἐμέμνητο, ἀλλὰ δίκας τοὺς ἀντιστασιώτας ἄιτεε τῆς ἑωϋτοῦ φυγῆς. τῶν δὲ οἱ μὲν τοπα-

[c] Πυθίη χρᾷ.

ράπαν ἐκ τῆς χώρης ἀπαλλάσσοντο, τοὺς δέ τινας χειρωσάμενος ὁ Ἀρκεσίλεως ἐς Κύπρον ἀπέστειλε ἐπὶ διαφθορῇ. τούτους μέν νυν Κνίδιοι ἀπενειχθέντας πρὸς τὴν σφετέρην, ἐῤῥύσαντο, καὶ ἐς Θήρην ἀπέστειλαν. ἑτέρους δέ τινας τῶν Κυρηναίων ἐς πύργον μέγαν Αγλωμάχου καταφυγόντας ἰδιωτικὸν, ὕλην περινήσας, Ἀρκεσίλεως ἐνέπρησε. μαθὼν δὲ ἐπ' ἐξεργασμένοισι τὸ μαντήϊον ἐὸν τοῦτο, ὅτι μιν ἡ Πυθίη οὐκ ἔα εὑρόντα ἐν τῇ καμίνῳ τοὺς ἀμφορέας ἐξοπτῆσαι, ἔργετο ἐκ τῆς τῶν Κυρηναίων [a] πόλιος, δειμαίνων τε τὸν κεχρημένον θάνατον, καὶ δοκέων ἀμφίῤῥυτον τὴν Κυρήνην εἶναι. εἶχε δὲ γυναῖκα συγγενέα ἑωϋτοῦ, θυγατέρα δὲ τοῦ τῶν Βαρκαίων βασιλῆος, τῷ οὔνομα ἦν Αλαζίρ [b]· παρὰ τοῦτον ἀπικνέεται· καί μιν Βαρκαῖοί τε ἄνδρες, καὶ [c] τῶν ἐκ Κυρήνης φυγάδων τινὲς καταμαθόντες ἀγοράζοντα, κτείνουσι· πρὸς δὲ, καὶ

[a] ἔργετο ἐκὼν τῆς Κυρηναίων. [b] Αλαζὶρ. [c] Haec copulativa non est in MS.

ſuae. At illorum alii exilio ſolum vertebant, alii ab eo comprehenſi, in Cyprum ad perniciem mittebantur: quos Cnidii ad ſuam terram appulſos liberaverunt, ad Theramque dimiſerunt. Quoſdam, qui in grandem quandam et privatam Aglomachi turrim refugerant, circumdata materia Arceſilaus igni cremavit. His perpetratis, agnoſcens id eſſe oraculum, quo Pythia non ſinebat eum inventas in fornace amphoras excoquere, arcebatur ex urbe Cyrene, extimeſcens necem oraculo praedictam, et Cyrenen exiſtimans eſſe circumfluam. Uxorem vero habebat cognatam ſuam regis Barcaeorum, cui nomen erat Alazir, filiam. Ad hunc proficiſcitur. Et quidam tum Barcaei, tum exules Cyrenaei quum in foro agentem eum animadvertiſſent, obtruncarunt, in-

ſuper et ejus ſocerum Alazira. Ita Arceſilaus, ſive volens ſive invitus oraculo non obſequutus, fatum ſuum implevit.

165. Mater ejus Pheretima, dum filius Arceſilaus mali ſui ſibi autor Barcae agit, ipſa interea honoribus filii Cyrene fungebatur, ac munera obibat cum alia, tum in ſenatu praeſidebat. Ubi autem cognovit filium ſuum Barcae occiſum eſſe, fuga ſe proripuit in Aegyptum. nam Arceſilaus fuerat de Cambyſe Cyri bene meritus; quod is extitiſſet qui Cyrenen Cambyſi tradiderat, ac tributum inſtituerat. Haec in Aegyptum quum perveniſſet, ſupplex Aryandi ſedit: hortanſque eum ad ſe ulciſcendam, etiam praetendens titulum quod ideo filius ſuus, quia cum Medis ſentiret, interemptus eſſet.

166. Erat hic Aryandes Aegypti praetor a Cambyſe conſtitutus, qui ali-

τὸν πενθερὸν αὐτοῦ Αλαζῖρα [d]. Αρκεσίλεως μέν νυν εἴτε ἑκὼν εἴτε ἄκων ἁμαρτὼν [e] τοῦ χρησμοῦ, ἐξέπλησε μοίρην τὴν ἑωϋτοῦ.

ρξέ. Ἡ δὲ μήτηρ Φερετίμη, τέως μὲν ὁ Αρκεσίλεως ἐν τῇ Βάρκῃ διαιτᾶτο ἐξεργασμένος ἑωϋτῷ κακὸν, ἡ δὲ εἶχε αὐτὴ τοῦ παιδὸς τὰ γέρεα ἐν Κυρήνῃ, καὶ τἄλλα νεμομένη, καὶ ἐν βουλῇ παρίζουσα· ἐπεί τε δὲ ἔμαθε ἐν τῇ Βάρκῃ ἀποθανόντα οἱ τὸν παῖδα, φεύγουσα οἰχώκεε ἐς Αἴγυπτον. ἦσαν γάρ οἱ ἐκ τοῦ Αρκεσίλεω εὐεργεσίαι ἐς Καμβύσεα τὸν Κύρου πεποιημέναι· οὗτος γὰρ ἦν Αρκεσίλεως ὃς Κυρήνην Καμβύσῃ ἔδωκε, καὶ φόρον [f] ἐτάξατο. ἀπικομένη δὲ ἐς Αἴγυπτον ἡ Φερετίμη, Αρυάνδεω ἱκέτις ἵζετο [g]. τιμωρῆσαι ἑωϋτῇ κελεύουσα· προϊσχομένη πρόφασιν, ὡς διὰ τὸν μηδισμὸν ὁ παῖς οἱ τέθνηκε.

ρξς'. Ὁ δὲ Αρυάνδης ἦν οὗτος τῆς Αἰγύπτου ὕπαρχος ὑπὸ Καμβύσεω κατεστεώς·

[d] Αλαζῆρα. Sed in MS. est Αλιζάρα manifeste pro Αλαζίρα.
[e] ἐξαμαρτὼν. [f] φόρους. [g] MS. ἵζετο.

ὃς ὑστέρῳ χρόνῳ τούτων παρισούμενος Δαρείῳ διεφθάρη. πυθόμενος γὰρ καὶ ἰδὼν Δαρεῖον ἐπιθυμέοντα μνημόσυνον ἑωϋτῷ λιπέσθαι τοῦτο τὸ μὴ ἄλλῳ εἴη βασιλέϊ κατεργασμένον, ἐμιμέετο τοῦτον· ἐς οὗ [a] ἔλαβε τὸν μισθόν. Δαρεῖος μὲν γὰρ χρυσίον καθαρώτατον ἀπεψήσας ἐς τὸ δυνατώτατον, νόμισμα ἐκόψατο· Αρυάνδης δὲ ἄρχων Αἰγύπτου, ἀργύριον τὠϋτὸ τοῦτο ἐποίεε. καὶ νῦν ἔτι ἀργύριον καθαρώτατον τὸ Αρυανδικόν. μαθὼν δὲ Δαρεῖος μιν ταῦτα ποιεῦντα, αἰτίην οἱ ἄλλην ἐπενείκας, ὥς οἱ ἐπανιστέατο [b], ἀπέκτεινε.

ρξζ. Τότε δὲ οὗτος ὁ Αρυάνδης κατοικτείρας Φερετίμην, διδοῖ αὐτῇ στρατὸν τὸν ἐξ Αἰγύπτου ἅπαντα, καὶ τὸν πεζὸν καὶ τὸν ναυτικόν. στρατηγὸν δὲ τοῦ μὲν πεζοῦ, Αμασιν ἀπέδεξε, ἄνδρα Μαράφιον· τοῦ δὲ ναυτικοῦ Βάδρην, ἐόντα Πασαργάδην γένος. πρὶν δὲ ἢ ἀποστεῖλαι [c] τὴν στρατιὴν ὁ Αρυάνδης πέμψας ἐς τὴν Βάρκην κήρυκα,

[a] ἐς ὃ. [b] ἐπανιστ αίατο. [c] πρὶν δὲ ἀποστεῖλαι.

quanto poſt tempore, quum aemulari Darium vellet, ab eo eſt interfectus. Siquidem audiens atque animadvertens Dario cordi eſſe memoriam ſui relinquere opere quod a nullo alio regum factum eſſet, id ſibi imitandum putavit: donec mercedem accepit. Etenim Darius ex auro quàm potuit purgatiſſimo monetam percuſſit: Aryandes autem Aegypti praetor idem ex argento fecit; et nunc quoque exſtat puriſſimum argentum Aryandicum. Ea re comperta Darius inſimulatum quaſi rebellaret, morte affecit.

167. Tunc autem Aryandes hic miſertus Pheretimae, omnes ei copias Aegypti tradidit, pedeſtres ſimul et nauticas, praepoſito quidem pedeſtribus Amaſi viro Maraphio, nauticis autem Badre, qui genere Paſargades erat. Sed priuſquam copias mitteret, caduceatore Barcam miſſo

percontabatur quisnam percussor Arcesilai extitisset. Barcaei se omnes extitisse respondent: multa etenim se ab illo mala esse perpessos. His auditis Aryandes ita exercitum una cum Pheretima mittit.

168. Atque hic quidem titulus inferendi belli extitit. Verum (ut mea fert opinio) exercitus mittebatur ad Afros subigendos. Afrorum enim multae sunt et variae nationes, quarum paucae regi obtemperabant, pleraeque Darium contemnebant. Habitant autem Afri hoc modo ab Aegypto incipientes, Afrorum primi Adyrmachidae, eisdem fere quibus Aegyptii moribus utentes. Vestem gestant qualem et alii Afri; uxores eorum in utraque tibia armillam aeream. Eaedem capitis comam alentes, pediculos si capiant, quaeque suos mordet, atque ita ab-

ἐπυνθάνετο τίς εἴη ὁ Ἀρκεσίλεων ἀποκτείνας· οἱ δὲ Βαρκαῖοι αὐτὸ ὑπεδέκοντο [d] πάντες. πολλά τε γὰρ καὶ κακὰ πάσχειν ὑπ' αὐτοῦ. πυθόμενος δὲ ταῦτα ὁ Ἀρυάνδης, οὕτω δὴ τὴν στρατιὴν ἀπέστελλε ἅμα τῇ Φερετίμῃ. αὕτη μέν νυν αἰτίη πρόσχημα τοῦ λόγου ἐγίνετο.

ρξή. Ἀπεπέμπετο δὲ ἡ στρατιὴ, ὡς ἐμοὶ δοκέειν [e], ἐπὶ Λιβύων καταστροφῇ. Λιβύων γὰρ δὴ ἔθνεα πολλὰ καὶ παντοῖά ἐστι· καὶ τὰ μὲν αὐτῶν ὀλίγα, βασιλέος ἦν ὑπήκοα, τὰ δὲ πλέω ἐφρόντιζε βασιλέος Δαρείου οὐδέν. οἰκέουσι δὲ κατὰ τάδε Λίβυες ἀπ' Αἰγύπτου ἀρχόμενοι· πρῶτοι Ἀδυρμαχίδαι Λιβύων κατοίκηνται, οἳ νόμοισι μὲν τὰ πλέω Αἰγυπτίοισι χρέωνται, ἐσθῆτα δὲ φορέουσι οἵην περ οἱ [f] ἄλλοι Λίβυες. αἱ δὲ γυναῖκες αὐτῶν, ψέλλιον [g] περὶ ἑκατέρῃ τῶν κνημέων φορέουσι χάλκεον· τὰς κεφαλὰς δὲ κομῶσαι, τοὺς φθεῖρας ἐπεὰν λάβωσι τοὺς ἑωϋτοὺς ἑκάστη ἀντιδάκνει, καὶ οὕ-

[d] αὐτὸν ὑπεδεκέατο. [e] δοκέει. [f] οἵην οἱ. [g] MS. ψέλιον.

τω ῥίπτει. οὗτοι δὲ μοῦνοι Λιβύων τοῦτο ἐργάζονται. καὶ τῷ βασιλέϊ μοῦνοι τὰς παρθένους μελλούσας συνοικέειν ἐπιδεικνύουσι· ἣ δὲ ἂν τῷ βασιλέϊ ἀρεστὴ γένηται, ὑπὸ τούτου διαπαρθενεύεται. παρήκουσι δὲ οὗτοι οἱ Ἀδυρμαχίδαι ἀπ' Αἰγύπτου μέχρι λιμένος, τῷ οὔνομα Πλευνός ἐστι.

ρξθ'. Τούτων δὲ ἔχονται Γιγάμαι [a], νεμόμενοι τὴν πρὸς ἑσπέρην χώρην, μέχρι Ἀφροδισιάδος νήσου. ἐν δὲ τῷ μεταξὺ τούτου χώρῳ ἥ τε [b] Πλατέα νῆσος ἐπικέεται, τὴν ἔκτισαν Κυρηναῖοι· καὶ ἐν τῇ ἠπείρῳ Μενελάϊος λιμήν ἐστι, καὶ Ἄζιρις, τὴν οἱ Κυρηναῖοι οἴκεον· καὶ τὸ Σίλφιον ἄρχεται ἀπὸ τούτου. παρήκει δὲ ἀπὸ Πλατέης νήσου, μέχρι τοῦ στόματος τῆς Σύρτιος τὸ Σίλφιον. νόμοισι δὲ χρέωνται οὗτοι παραπλησίοισι τοῖσι ἑτέροισι.

ρο'. Γιγαμέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Ἀσβύσται [c]. οὗτοι ὑπὲρ [d] Κυρήνης οἰ-

[a] MS. τιλιγάμμαι et mox γιλιγαμμέων. [b] μεταξὺ χώρῳ τούτῳ ἥτε. [c] MS. Ασύνται bis atque item mox Ασυντέων. [d] ἴσως τὸ ὑπέρ.

jicit. Hoc isti ex omnibus Afris soli factitant: solique virgines nupturas regi exhibent, et quae illi placuerit, eam devirginat. Pertinent hi Adyrmachidae ab Aegypto ad portum usque nomine Pleunum.

169. His confines sunt Gigamae, regionem versus occasum incolentes, Aphrodisiade tenus insula. In hujus loci medio adsita est insula Platea, quam condidere Cyrenaei. Atque in continente est portus Menelaius et Aziris, quam Cyrenaei incoluere. Et hinc Silphium incipit, ab insula Platea pertinens usque ad os Syrtis. Apud hos iidem pene ritus qui apud alios sunt.

170. Gigamas ab occasu contingunt Asbystae, qui supra Cyrenen incolentes

non pertinent ad mare. nam maritima Cyrenaei incolunt. Iidem non poſtremi, ſed praecipui Afrorum ſunt in quadrigis regendis, ſtudioſi in Cyrenaeorum legibus pleraque ex parte imitandis.

171. Horum ſunt occaſum verſus confines Auſchiſae, qui ſupra Barcam incolentes ad mare pertinent prope Eueſperidas. Circa mediam Auſchiſarum plagam habitant Cabales, exigua natio, ad mare pertinentes circa Tauchiram oppidum agri Barcaei, eiſdem quibus ii qui ſupra Cyrenen ſunt, legibus utentes.

172. Auſchiſarum quod ad occaſum vergit, contingunt Naſamones, grandis natio, qui ſub aeſtatem relictis ad mare pecoribus, adſcendunt ad locum Augila decerpturi palmulas. nam palmae illic et permultae ſunt, et ſpatioſae, et fructiferae omnes. Locuſtas ubi venando cepe-

κέουσι. ἐπὶ θάλασσαν δὲ οὐ κατήκουσι Ασϐύσαι. τὸ γὰρ παρὰ θάλασσαν Κυρηναῖοι νέμονται. τεθριπποβάται δὲ οὐκ ἥκιστα ἀλλὰ μάλιστα Λιβύων εἰσί. νόμους δὲ τοὺς πλεῦνας μιμέεσθαι ἐπιτηδεύουσι τοὺς Κυρηναίων.

ροα΄. Ασϐυστέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Αὐχίσαι· οὗτοι ὑπὲρ Βάρκης οἰκέουσι, κατήκοντες ἐπὶ θάλασσαν κατ' Εὐεσπερίδας. Αὐχισέων δὲ κατὰ μέσον τῆς χώρης οἰκέουσι Κάβαλες, ὀλίγον ἔθνος, κατήκοντες ἐπὶ θάλασσαν κατὰ Ταύχειρα πόλιν τῆς Βαρκαίης. νόμοισι δὲ τοῖσι αὐτοῖσι χρέωνται τοῖσι καὶ οἱ ὑπὲρ Κυρήνης.

ροϐ΄. Αὐχισέων δὲ τουτέων τὸ πρὸς ἑσπέρης ἔχονται Νασάμωνες, ἔθνος ἐὸν πολλόν· οἳ τὸ θέρος καταλείποντες ἐπὶ τῇ θαλάσσῃ τὰ πρόβατα, ἀναβαίνουσι ἐς Αὔγιλα [a] χῶρον ὀπωριεῦντες τοὺς φοίνικας· οἱ δὲ, πολλοὶ καὶ ἀμφιλαφέες πεφύκασι, πάντες ἐόντες καρποφόροι. τοὺς δὲ ἀττελέ-

[a] Αἴγιλα.

βους ἐπεὰν θηρεύσωσι, αὐήναντες πρὸς τὸν ἥλιον, καταλέουσι· καὶ ἔπειτα γάλα ἐπιπάσσοντες, πίνουσι. γυναῖκας δὲ νομίζοντες πολλὰς ἔχειν ἕκαστος, ἐπίκοινον αὐτέων τὴν μίξιν ποιεῦνται· τρόπῳ παραπλησίῳ τῷ καὶ Μασσαγέται, ἐπεὰν σκίπωνα [b] προστήσωνται, μίσγονται. πρῶτον δὲ γαμέοντος Νασάμωνος ἀνδρὸς, νόμος ἐστὶ τὴν νύμφην νυκτὶ τῇ πρώτῃ διὰ πάντων διεξελθεῖν τῶν δαιτυμόνων μισγομένην. τῶν δὲ ὡς ἕκαστός οἱ μιχθῇ, διδοῖ δῶρον τὸ ἂν ἔχῃ φερόμενος ἐξ οἴκου. Ὁρκίοισι [c] δὲ καὶ μαντικῇ χρέωνται τοιῇδε. ὀμνύουσι μὲν τοὺς παρὰ σφίσι ἄνδρας δικαιοτάτους καὶ ἀρίστους λεγομένους γενέσθαι τούτους, τῶν τύμβων ἁπτόμενοι. μαντεύονται δὲ ἐπὶ τῶν προγόνων φοιτέοντες τὰ σήματα· καὶ κατευξάμενοι, ἐπικοιμῶνται [d]. τὸ δ' ἂν ἴδῃ ἐν τῇ [e] ὄψει ἐνύπνιον, τούτῳ χρῶνται. πίστισι δὲ τοιῇσι χρέωνται. ἐκ τῆς χειρὸς διδοῖ πιεῖν, καὶ αὐτὸς ἐκ τῆς τοῦ ἑτέρου πίνει. ἢν δὲ μὴ

[b] σκίμπωνα. [c] ὅρκοισι. [d] ἐπικατακοιμέωνται. [e] ἂν ἴδωσι τῇ.

rint ad ſolem ſiccantes, molunt, deinde lacte adſperſo ſorbillant. Uxores multas ſinguli e conſuetudine habent, et cum eis communem faciunt coitum, eodem paene quo Maſſagetae modo, prius ſcipione praefixo. Naſamonibus mos eſt, quum quis primum ducit uxorem, prima nocte ut ſponſa ſingulos convivas obeat concubitus gratia, et ut quiſque illorum cum ea concubuit, donum det illi quod ſecum habet domo allatum. Jurejurando ac divinatione tali utuntur: Per eos viros qui juſtiſſimi atque optimi apud illos fuiſſe dicuntur, jurant, illorum ſepulcra tangentes. Divinant, ad majorum accedentes monumenta, et illis, ubi preces peregerunt, indormiunt: ubi quodcunque per quietem inſomnium viderunt, eo utuntur. Fidei dandae conſuetudo haec eſt: De manu alterius uterque invicem bibit. quod

ſi nihil humoris habuerint, ſumptum e terra cinerem lingunt.

173. Naſamonibus confines ſunt Pſylli, qui hunc in modum interciderunt: Notus eis omnia receptacula aquarum areſecerat: erat autem omnis eorum regio intra Syrtin et aquarum inops. Ob id iſti publico colloquio atque conſilio expeditionem fecere adverſus notum. (quae Afri memorant ipſa refero) et quum ad arenas veniſſent, notus ſpirans ipſos obruit. Pſyllis extinctis, eorum terram Naſamones obtinent.

174. Super hos notum verſus, in regione feris frequenti Garamantes habitant, qui fugiunt quemcunque hominem et cujuſcunque commercium, nihil bellicae armaturae habentes, ac ne defendere quidem ſeſe ſcientes.

175. Hi ſupra Naſamones incolunt. Circa maritima vero, occaſum verſus, confines ſunt Macae, qui criſtas tondentur;

ἔχωσι ὑγρὸν μηδὲν, οἱ δὲ τῆς χαμάθεν [f] σποδῦ λαβόντες λείχυσι.

ρογ΄. Νασάμωσι δὲ προσόμουροί εἰσι Ψύλλοι. ὗτοι ἐξαπολώλασι τρόπῳ τοιῷδε· ὁ νότος σφι πνέων ἄνεμος τὰ ἔλυτρα τῶν ὑδάτων ἐξηύηνε. ἡ δὲ χώρη σφι πᾶσα ἐντὸς ἐῦσα τῆς Σύρτιος, ἦν ἄνυδρος· οἱ δὲ βυλευσάμενοι κοινῷ λόγῳ, ἐστρατεύοντο ἐπὶ τὸν νότον: (λέγω δὲ ταῦτα τὰ λέγουσι Λίβυες) καὶ ἐπεί τε ἐγίνοντο ἐν τῇ ψάμμῳ, πνεύσας ὁ νότος κατέχωσέ σφεας. ἐξαπολομένων δὲ τουτέων, ἔχυσι τὴν χώρην οἱ Νασάμωνες.

ροδ΄. Τυτέων δὲ κατύπερθε πρὸς νότον ἄνεμον, ἐν τῇ θηριώδεϊ οἰκέυσι Γαράμαντες, οἳ πάντα ἄνθρωπον φεύγυσι, καὶ παντὸς ὁμιλίην· καὶ ὔτε ὅπλων ἐκτέαται ἀρήϊον ὐδὲν, ὔτε ἀμύνεσθαι ἐπιστέαται.

ροε΄. Οὗτοι μὲν δὴ κατύπερθε οἰκέυσι Νασαμώνων. τὸ δὲ παρὰ τὴν θάλασσαν ἔχονται τὸ πρὸς ἑσπέρης Μάκαι, οἳ λό-

[f] χαμόθεν.

φυς κείρονται· τὸ μὲν μέσον τῶν τριχῶν ἀνιέντες αὔξεσθαι, τὰ δὲ ἔνθεν καὶ ἔνθεν κείροντες [g] ἐν χροΐ· ἐς δὲ τὸν πόλεμον, στρουθῶν καταγαίων δορὰς φέρουσι [h] προβλήματα. διὰ δὲ αὐτῶν Κίνυψ ποταμὸς ῥέων ἐκ λόφου καλουμένου Χαρίτων, ἐς θάλασσαν ἐκδιδοῖ. ὁ δὲ λόφος οὗτος ὁ Χαρίτων δασὺς ἴδῃσί ἐστι, ἐούσης τῆς ἄλλης τῆς προκαταλεχθείσης Λιβύης ψιλῆς. ἀπὸ θαλάσσης δὲ ἐς αὐτὸν στάδιοι διηκόσιοί εἰσι.

ρος΄. Μακέων δὲ τούτων ἐχόμενοι Γινδανές εἰσι· τῶν αἱ γυναῖκες περισφύρια δερμάτων πολλὰ ἑκάστη φορέει κατὰ τοιόνδε τι, ὡς λέγεται· κατ᾽ ἄνδρα ἕκαστον μιχθέντα περισφύριον περιδέεται· ἣ δ᾽ ἂν πλεῖστα ἔχῃ, αὕτη ἀρίστη δέδοκται εἶναι, ὡς ὑπὸ πλείστων ἀνδρῶν φιληθεῖσα.

ροζ΄. Ακτὴν δὲ προέχουσαν ἐς τὸν πόντον τούτων τῶν Γινδάνων νέμονται Λωτοφάγοι· οἳ τὸν καρπὸν μοῦνον τοῦ λωτοῦ τρώγοντες ζῶσι. ὁ δὲ τοῦ λωτοῦ καρπὸς

[g] κέιρονται. [h] φορέουσι.

in medio capillos crescere sinentes, hinc atque hinc ad cutem usque tondentur. In bellum pelles subterraneorum struthionum ferunt pro tegumento. Per eos flumen Cinyps e colle, qui vocatur Gratiarum, fluens, in mare influit. Hic collis Gratiarum nemoribus frequens est, quum cetera, cujus memini, Africa sit arboribus nuda. ducentorum ab eo ad mare stadiorum est intercapedo.

176. Horum Macarum finitimi sunt Gindanes: quorum uxores ferunt fascias ad pedum malleolos ex pellibus singulae multas, ob hoc, ut memoratur, quod ut a quoque viro venerem passa est, fasciam circumligat, et ut quaeque plurimas habet, ita praeclarissima censetur, tanquam a pluribus viris adamata.

177. Horum Gindanum oram in mare porrectam incolunt Lotophagi, qui solum loti fructum manducantes victitant;

cujus fructus est magnitudine instar lentisci, suavitate assimilis fructui palmarum. Ex hoc fructu Lotophagi vinum quoque conficiunt.

178. Lotophagis secundum mare vicini sunt Machlyes, loto et ipsi utentes, sed minus quam superiores. Pertinent autem usque ad ingentem amnem nomine Tritonem, qui in grandem paludem Tritonìdem influit, in qua est insula quae dicitur Phla. Hanc vero insulam ajunt dici oraculum esse Lacedaemoniis condere.

179. Ajunt autem et haec: Jasonem, posteaquam sub Pelio compacta est ab eo Argo, quum eam oneravisset tum alio centum victimarum onere, tum vero etiam tripode aereo, circuisse Peloponnesum, animo Delphos eundi: eumque, quum teneret cursum circa Maleam, abreptum a vento aquilone, et abductum in

ἐστι μέγαθος ὅσον τε τῆς [a] σχίνου· γλυκύτητα δὲ, τοῦ φοίνικος τῷ καρπῷ προσείκελος. ποιεῦνται δὲ ἐκ τοῦ καρποῦ τούτου οἱ Λωτοφάγοι καὶ οἶνον.

ροη΄. Λωτοφάγων δὲ τὸ παρὰ θάλασσαν ἔχονται Μάχλυες, τῷ λωτῷ [b] μὲν καὶ οὗτοι χρεώμενοι, ἀτὰρ ἧσσόν γε τῶν πρότερον λεχθέντων. κατήκουσι δὲ ἐπὶ ποταμὸν μέγαν, τῷ οὔνομα Τρίτων ἐστί· ἐκδιδοῖ δὲ οὗτος ἐς λίμνην μεγάλην Τριτωνίδα. ἐν δὲ αὐτῇ νῆσος ἔνι τῇ οὔνομα Φλά. ταύτην δὲ τὴν νῆσον Λακεδαιμονίοισι φασὶ λόγιον εἶναι κτίσαι.

ροθ΄. Ἔστι δὲ καὶ ὅδε λόγος λεγόμενος· Ἰήσονα, ἐπεί τέ οἱ ἐξεργάσθη ὑπὸ τῷ Πηλίῳ ἡ Ἀργὼ, ἐσθέμενον ἐς αὐτὴν ἄλλην τε ἑκατόμβην, καὶ δὴ καὶ τρίποδα χάλκεον, περιπλώειν Πελοπόννησον, βουλόμενον ἐς Δελφοὺς ἀπίκεσθαι. καί μιν ὡς πλέοντα γενέσθαι κατὰ Μαλέην, ὑπολαβεῖν ἄνεμον βορέην, καὶ ἀποφέρειν πρὸς τὴν Λιβύην.

[a] ἴσον τὸ τῆς. [b] Μάχλυες, λωτῷ.

πρὶν δὲ κατιδέσθαι γῆν, ἐν τοῖσι βράχεσι γενέσθαι λίμνης τῆς Τριτωνίδος. καί οἱ ἀπορέοντι τὴν ἐξαγωγὴν λόγος ἐστὶ φανῆναι Τρίτωνα, καὶ κελεύειν τὸν Ἰήσονα ἑωϋτῷ δοῦναι τὸν τρίποδα· φάμενόν σφι. καὶ τὸν πόρον δέιξειν, καὶ ἀπήμονας ἀποστελέειν· πειθομένου δὲ τοῦ Ἰήσονος, οὕτω δὴ τόν τε διέκπλοον τῶν βραχέων δεικνύναι τὸν Τρίτωνά σφι, καὶ τὸν Τρίποδα θεῖναι ἐν τῷ ἑωϋτοῦ ἱρῷ· ἐπιθεσπίσαντά τε τῷ τρίποδι, καὶ τοῖσι σὺν Ἰήσονι σημήναντα τὸν πάντα λόγον, ὡς ἐπεὰν τὸν τρίποδα κομίσηται τῶν ἐκγόνων τις τῶν ἐν τῇ Αργοῖ συμπλεόντων, τότε ἑκατὸν πόλιας οἰκῆσαι περὶ τὴν Τριτωνίδα λίμνην Ἑλληνίδας, πᾶσαν εἶναι ἀνάγκην. ταῦτα ἀκούσαντας τοὺς ἐπιχωρίους τῶν Λιβύων, κρύψαι τὸν τρίποδα.

ρπʹ. Τούτων δὲ ἔχονται τῶν Μαχλύων Αὐσέες. οὗτοι δὲ καὶ οἱ Μάχλυες πέριξ τὴν Τριτωνίδα λίμνην οἰκέουσι. τὸ μέσον δέ σφι

Africam, et priusquam tellurem cerneret, in brevibus paludis Tritonidis fuisse: eique haesitanti de egressu fama fert apparuisse Tritonem, ac jussisse dari sibi tripodem, quod diceret ostensurum se illis exitum, atque incolumes dimissurum. Assentiente Jasone, ita demum Tritonem ostendisse qua ratione e brevibus enavigarent, et tripodem in suo templo posuisse, eique tripodi oraculum indidisse, et iis qui cum Jasone erant, rem omnem indicasse. Fore enim, ut quum quis ex posteris eorum qui in Argo simul navigarent, tripodem acceperit, necessario tunc centum Graecae civitates accolerent paludem Tritonidem. Haec quum audissent Afri incolae, tripodem occultasse.

180. Juxta hos Machlyes habitant Ausenses: et circum paludem Tritonidem utrique habitant, ita ut medio Trito-

ne dirimantur. Quorum Machlyes quidem occiput crinitum gestant, Ausenses vero sinciput. Horum virgines, anniversario Minervae festo, in honorem ipsius deae inter se bifariam divisae, proeliantur lapidibus fustibusque, dicentes se ritus patrios peragere ei quam Minervam nominamus: et quae virgines e vulneribus decedunt, eas falsas virgines appellant. Sed priusquam a pugnando desistant, hoc faciunt: Quae virgo in pugna navavit optimam operam, eam semper communi consensu ornant cum cetera armatura Graeca, tum galea Corinthia, et currui impositam circa paludem circumducunt. Quibus autem rebus ornarentur olim hae virgines antequam accolerent Graeci, non habeo dicere. arbitror autem ornari suetas armis Aegyptiis. nam ab Aegypto affirmarim et scutum et galeam Graecis esse tradita. Ajunt autem Minervam Neptuni

ὁρίζει ὁ Τρίτων. καὶ οἱ μὲν Μάχλυες τὰ ὀπίσω κομέουσι τῆς κεφαλῆς· οἱ δὲ Αὐσῆς, τὰ ἔμπροσθεν. ὁρτῇ δὲ ἐνιαυσίῃ Ἀθηναίης αἱ παρθένοι αὐτῶν δίχα διαστᾶσαι μάχονται πρὸς ἀλλήλας λίθοισί τε καὶ ξύλοισι, τῇ αὐθιγενέϊ θεῷ λέγουσαι τὰ πάτρια ἀποτελέειν, τὴν Ἀθηναίην καλέομεν [a]. τὰς δὲ ἀποθνησκούσας παρθένους ἐκ τῶν τρωϋμάτων [b], ψευδοπαρθένους καλέουσι. πρὶν δὲ ἀνεῖναι αὐτὰς μάχεσθαι, τάδε ποιεῦσι. κοινῇ παρθένον τὴν καλλιστεύουσαν ἑκάστοτε κοσμήσαντες κυνῇ τε Κορινθίῃ καὶ πανοπλίῃ Ἑλληνικῇ, καὶ ἐπ᾽ ἅρμα ἀναβιβάσαντες, περιάγουσι τὴν λίμνην κύκλῳ. ὁτέοισι δὲ τοπάλαι ἐκόσμεον τὰς παρθένους πρὶν ἤ σφι Ἕλληνας παροικισθῆναι, οὐκ ἔχω εἶπαι· δοκέω δὲ ὦν Αἰγυπτίοισι ὅπλοισι κοσμέεσθαι αὐτάς. ἀπὸ γὰρ Αἰγύπτου καὶ τὴν ἀσπίδα καὶ τὸ κράνος φημὶ ἀπῖχθαι ἐς τοὺς Ἕλληνας. τὴν δὲ Ἀθηναίην φασὶ Ποσειδέωνος εἶναι θυγατέρα καὶ

[a] καλέουσι. [b] MS. τρωμάτων.

τῆς Τριτωνίδος λίμνης· καί μιν μεμφθεῖσάν τι τῷ πατρὶ, δοῦναι ἑωϋτὴν τῷ Διΐ· τὸν δὲ Δία ἑωϋτοῦ μιν ποιήσασθαι θυγατέρα. ταῦτα μὲν λέγουσι. μίξιν δὲ ἐπίκοινον τῶν γυναικῶν ποιέονται, οὔτε συνοικέοντες, κτηνηδόν τε μισγόμενοι. ἐπεὰν δὲ γυναικὶ τὸ παιδίον ἁδρὸν γένηται, συμφοιτέουσι ἐς τὠϋτὸ οἱ ἄνδρες τρίτου μηνὸς, καὶ τῷ ἂν οἴκῃ [c] τῶν ἀνδρῶν τὸ παιδίον, τούτου παῖς νομίζεται.

. ρπα΄. Οὗτοι μὲν οἱ παραθαλάσσιοι τῶν Νομάδων Λιβύων εἰρέαται. ὑπὲρ δὲ τούτων ἐς μεσόγαιαν ἡ θηριώδης ἐστὶ Λιβύη. ὑπὲρ δὲ τῆς θηριώδεος, ὀφρύη ψάμμης [d] κατήκει, παρατείνουσα ἀπὸ Θηβέων τῶν Αἰγυπτιέων ἐπὶ Ἡρακληΐας στήλας. ἐν δὲ τῇ ὀφρύῃ ταύτῃ μάλιστα διὰ δέκα ἡμερέων ὁδοῦ, ἁλός ἐστι τρύφεα κατὰ χόνδρους μεγάλους ἐν κολωνοῖσι, καὶ ἐν κορυφῇσι ἑκάστου τοῦ κολωνοῦ [e] ἀνακοντίζει ἐκ μέσου τοῦ ἁλὸς ὕδωρ ψυχρὸν καὶ γλυκύ. περὶ δὲ

[c] ἥκῃ. [d] ψάμμος. [e] τῶν κολωνῶν.

esse filiam ac paludis Tritonidis eamque succensentem nescio quid patri donasse seipsam Jovi, et Jovem sibi illam asciviſſe filiam. Haec illi ajunt. Iidem promiscue cum mulieribus, non una habitantes, sed pecudum more concumbunt. Ubi apud mulierem puer robustus est factus, cui virorum similis sit puer, (nam tertio quoque mense viri conveniunt) ejus filius censetur.

181. Isti quidem maritimi Afrorum Nomadum dicti sunt. Supra hos autem ad partem mediterraneam Africa est feris abundans. Supra hanc ferinam supercilium soli sabulosum est, porrectum a Thebis Aegyptiis ad columnas Herculis. In hoc supercilio ferme decem dierum itinere sunt frusta salis, fere grumi grandes in collibus, et singulorum collium vertices e medio sale ejaculantur aquam dulcem pariter et gelidam. Circa quam homines

habitant ultimi ſolitudinem verſus, et ſupra *plagam* ferinam *dictam*, a Thebis itinere dierum decem primi Ammonii, habentes templum ab Thebano Jove. Etenim Thebis (quemadmodum a me etiam memoratum eſt) aſpectu arietino Jovis ſimulacrum eſt. Apud hos eſt alia quoque aqua fontana, quae ſub matutinum quidem tepet, ſub horam autem fori repleti frigeſcit: ſub meridiem valde frigida eſt. eaque hora hortos irrigant. Declinante jam die remittitur frigus, donec ſol occidit: tunc tepeſcit; magis ac magis caleſcens, ad mediam accedit noctem; quo tempore fervens exaeſtuat: praeterita nocte media, ad auroram uſque refrigeſcit. cognominatur autem fons iſte, Solis.

182. Poſt Ammonios autem per ſupercilium ſabuli, decem rurſus dierum i-

αὐτὸ ἄνθρωποι οἰκέουσι ἔσχατοι πρὸς τῆς ἐρήμυ, κὶ ὑπὲρ τῆς θηριώδεος, πρῶτοι μὲν ἀπὸ Θηβέων διὰ δέκα ἡμερέων ὁδῦ Αμμώνιοι, ἔχοντες τὸ ἱρὸν ἀπὸ τῦ Θηβαιέος Διός. κὶ γὰρ τὸ ἐν Θήβησι (ὡς κὶ πρότερον εἴρηταί μοι) κριοπρόσωπον τοῦ Διὸς τὤγαλμά ἐστι. τυγχάνει δὲ κὶ ἄλλό σφι ὕδωρ κρηναῖον ἐόν· τὸ τὸν μὲν ὄρθρον γίνεται χλιαρὸν, ἀγορῆς δὲ πληθυούσης ψυχρότερον· μεσαμβρίη τέ ἐστι, κὶ τὸ κάρτα γίνεται ψυχρόν· τηνικαῦτα δὲ ἄρδυσι τὺς κήπυς. ἀποκλινομένης δὲ τῆς ἡμέρης ὑπίεται τῦ ψυχρῦ, ἐς οὗ δύεταί τε ὁ ἥλιος, κὶ τὸ ὕδωρ γίνεται χλιαρόν. ἐπὶ δὲ μᾶλλον ἰὸν ἐς τὸ θερμὸν ἐς μέσας νύκτας πελάζει [a]. τηνικαῦτα δὲ ζέει ἀμβολάδην. παρέρχονταί τε μέσαι νύκτες κὶ ψύχεται μέχρι ἐς ἠῶ. ἐπικλήσιν δὲ αὕτη ἡ κρήνη καλέεται ἡλίυ.

ρπβʹ. Μετὰ δὲ Αμμωνίους, διὰ τῆς ὀφρύης τῆς ψάμμυ δι' ἀλλέων δέκα ἡμερέ-

[a] πελαγίζει.

ων ὁδοῦ, κολωνός τε ἁλός ἐςι ὁμοῖος τῷ Αμμωνίῳ, καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι· τῷ δὲ χώρῳ τούτῳ οὔνομα Αὐγιλά [b] ἐςι. ἐς τοῦτον τὸν χῶρον οἱ Νασάμωνες ὀπωριεῦντες τοὺς φοίνικας φοιτέουσι.

ρπγ′. Ἀπὸ δὲ Αὐγίλων, διὰ δέκα ἡμερέων ἀλλέων ὁδοῦ, ἕτερος ἁλὸς κολωνὸς, καὶ ὕδωρ, καὶ Φοίνικες καρποφόροι πολλοὶ, κατάπερ καὶ ἐν τοῖσι ἑτέροισι· καὶ ἄνθρωποι οἰκέουσι ἐν αὐτῷ, τοῖσι οὔνομα Γαράμαντές ἐςι, ἔθνος μέγα ἰσχυρῶς· οἳ ἐπὶ τὸν ἅλα γῆν ἐπιφορέοντες, οὕτω σπείρουσι. συντομώτατον δ᾽ ἐςὶ ἐς τοὺς Λωτοφάγους· ἐκ τῶν τριήκοντα ἡμερέων ἐς αὐτοὺς ὁδός ἐςι· ἐν τοῖσι καὶ οἱ ὀπισθονόμοι βόες γίνονται. ὀπισθονόμοι δὲ διὰ τόδε εἰσί· τὰ κέρεα ἔχουσι κεκυφότα ἐς τὸ ἔμπροσθεν. διὰ τοῦτο ὀπίσω ἀναχωρέοντες, νέμονται· ἐς γὰρ τὸ ἔμπροσθεν οὐκ οἷοί τε εἰσὶ, προεμβαλλόντων ἐς τὴν γῆν τῶν κερέων. ἄλλο δὲ οὐδὲν διαφέρουσι τῶν ἄλλων βοῶν ὅτι μὴ τοῦτο, καὶ

[b] Αἴγιλα et mox Αἰγίλων.

tinere eſt collis ſalis, illi Ammonio par et aqua, hominibus circumhabitantibus: cui loco nomen eſt Augila, ad quem locum Naſamones veniunt palmulas decerptum.

183. Rurſus decem dierum ſpatio ab Augilis alius collis eſt ſalis, et aqua, et palmularum fructiferarum magna vis, quemadmodum apud alios: incolentibus illic hominibus quibus nomen eſt Garamantes, natione ſane magna, qui inducta ſuper ſalem humo, ita ſerunt. Ab his ad Lotophagos breviſſimum iter. A quibus triginta dierum ſpatium eſt ad eos, apud quos gignuntur boves retro paſcentes. Propterea autem retro paſcentes, quod cornua inclinata anterius habent, et ob id ceſſim euntes paſcunt. nam praeinjicientibus in terram cornibus, progrediendo nequeunt: alioqui nihil differentes a ceteris bobus, praeter hoc ipſum et

crassitudinem pellis atque duritiem. Garamantes hi Troglodytas Aethiopes quadrigis venantur. nam Troglodytae Aethiopes, omnium hominum quos fando cognovimus, pernicissimis pedibus sunt, serpentibus, lacertisque et aliis id genus reptilibus vescentes, lingua nulli alteri simili utentes, sed vespertilionum more stridentes.

184. A Garamantibus decem quoque dierum itinere alius collis est salis, et aqua: accolentibus hominibus quibus nomen est Atlantes, solis omnium hominum, quos ipsi novimus, innominatis. nam congregati quidem vocantur Atlantes, singulis autem eorum nullum nomen imponitur. Hi solem transcendentem execrantur eique praeterea omnia convitia ingerunt, quod torridus et ipsos et regionem perdat. Post totidem dierum iter

τὸ δέρμα ἐς παχύτητά τε κ) τρίψιν. οἱ Γαράμαντες δὲ οὗτοι τὺς Τρωγλοδύτας Αἰθίοπας θηρεύυσι τοῖσι τεθρίπποισι. οἱ γὰρ Τρωγλοδύται Αἰθίοπες πόδας τάχιστοι ἀνθρώπων πάντων εἰσὶ, τῶν ἡμεῖς πέρι λόγυς ἀποφερομένους ἀκύομεν. σιτέονται δὲ οἱ Τρωγλοδύται ὄφις κ) σαύρυς, κ) τὰ τοιαῦτα τῶν ἑρπετῶν. γλῶσσαν δὲ ὐδεμιῆ ἄλλῃ παρομοίην νενομίκασι, ἀλλὰ τετρύγασι, κατάπερ αἱ νυκτερίδες.

ρπδʹ. Απὸ δὲ Γαραμάντων δι᾽ ἀλλέων δέκα ἡμερέων ὁδὺ, ἄλλος ἁλός τε κολωνὸς, κ) ὕδωρ, κ) ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι, τοῖσι οὔνομά ἐστι Ατλαντες· οἳ ἀνώνυμοί εἰσι μοῦνοι ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν. ἁλέσι μὲν γάρ σφι ἐστὶ Ατλαντες ὔνομα, ἑνὶ δὲ ἑκάστῳ αὐτέων ὔνομα ὐδὲν κέεται. οὗτοι τῷ ἡλίῳ ὑπερβάλλοντι καταρῶνται, καὶ πρὸς τούτοισι πάντα τὰ αἰσχρὰ λοιδορέονται, ὅτι σφέας καίων ἐπιτρίβει, αὐτύς τε τὺς ἀνθρώπυς, κ) τὴν χώρην αὐτέων. με-

τὰ δὲ, δι' ἀλλέων δέκα ἡμερέων ὁδοῦ [c], ἄλλος κολωνὸς ἁλὸς, καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι. ἔχεται δὲ τοῦ. ἁλὸς τούτου οὖρος, τῷ οὔνομα ἐστὶ Ατλας [d]· ἔστι δὲ στεινὸν καὶ κυκλοτερὲς πάντη. ὑψηλὸν δὲ οὕτω τι [e] λέγεται ὡς τὰς κορυφὰς αὐτοῦ οὐκ οἷά τε εἶναι ἰδέσθαι. οὐδέκοτε γὰρ αὐτὰς ἀπολείπει νέφεα οὔτε θέρεος οὔτε χειμῶνος. τοῦτο τὸν κίονα [f] τοῦ οὐρανοῦ λέγουσι οἱ ἐπιχώριοι εἶναι. ἐπὶ τούτου τοῦ οὔρεος οἱ ἄνθρωποι οὗτοι ἐπώνυμοι ἐγένοντο· καλέονται γὰρ δὴ Ατλαντες. λέγονται δὲ οὔτε ἔμψυχον οὐδὲν σιτέεσθαι, οὔτε ἐνύπνια ὁρᾷν.

ρπε'. Μέχρι μὲν δὴ τῶν Ατλάντων τούτων, ἔχω τὰ οὐνόματα τῶν ἐν τῇ ὀφρύῃ κατοικημένων καταλέξαι· τὸ δ' ἀπὸ τούτων, οὐκέτι. διήκει δ' ὦν ἡ ὀφρύη μέχρι Ἡρακληΐων στηλέων, καὶ τὸ ἔξω τουτέων. ἔστι δὲ ἁλός τε μέταλλον ἐν αὐτῇ διὰ δέκα ἡμερέων ὁδοῦ, καὶ ἄνθρωποι οἰκέοντες· τὰ δὲ οἰκία τούτοισι πᾶσι ἐκ τῶν ἁλίνων χόνδρων

c Haec vox ὁδοῦ nunc in MS. non agnoscitur. d οὔνομα Ατλας. e οὕτω δή τι. f τοῦτο κίονα.

collius tumulus salis est, cum aqua, et hominibus accolentibus. Cui sali confinis est mons nomine Atlas, angustus, et undique teres: et (ut fertur) adeo celsus ut ejus cacumen nequeat cerni, quod a nubibus nunquam relinquatur, neque aestate neque hyeme: quem esse columnam coeli indigenae ajunt. Ab hoc monte cognominantur hi homines: nam Atlantes vocantur. dicunturque nec ulla animante vesci, nec ulla somnia cernere.

185. Ad hos usque Atlantes possum recensere nomina eorum qui in supercilio habitant, post hos non amplius. Porrigitur autem id supercilium ad columnas usque Herculeas, atque extra illas. Intra quod est salis metallum, decem dierum itinere, et homines incolentes, qui domicilia sua faciunt ex grumis salinis. isti e-

nim jam tractus Lybiae vacant imbribus. nam si plueret, non possent manere parietes salis. ibi autem et albus et purpureus sal foditur. Supra autem hoc supercilium, notum versus ac mediterranea Africae, deserta jam plaga est, et sine aqua ferisque, sine pluvia ac lignis, omni prorsus humore vacans.

186. Ita ab Aegypto ad Tritonidem paludem, pastoricii Afri sunt carne victitantes ac lacte, nihil vaccinum gustantes; quia nec Aegyptii; et neque suem alentes. Vaccam quidem nec Cyrenaeae feminae tangere sibi fas putant, ob Isidem, quae est in Aegypto, cui etiam jejunia et dies festos studiose agunt. At mulieres Barcaeae non modo gustu vaccinae carnis, sed etiam suillae abstinent. Atque haec quidem ita habent.

187. Ad occasum vero Tritonidis

οἰκοδομέαται. ταῦτα γὰρ ἤδη τῆς Λιβύης ἄνομβρά ἐστι· οὐ γὰρ ἂν ἠδυνέατο [a] μένειν οἱ τοῖχοι ἐόντες ἅλινοι, εἰ ὗε. ὁ δὲ ἅλς αὐτόθι καὶ λευκὸς καὶ πορφύρεος τὸ εἶδος ὀρύσσεται. ὑπὲρ δὲ τῆς ὀφρύης ταύτης, τὸ πρὸς νότον καὶ μεσόγαιαν τῆς Λιβύης, ἔρημος καὶ ἄνυδρος καὶ ἄθηρος καὶ ἄνομβρος καὶ ἄξυλός ἐστι ἡ χώρη· καὶ ἰκμάδος ἐστὶ ἐν αὐτῇ οὐδέν.

ρπϛʹ. Οὕτω μὲν μέχρι τῆς Τριτωνίδος λίμνης ἀπ' Αἰγύπτου νομάδες εἰσὶ κρεοφάγοι τε καὶ γαλακτοπόται Λίβυες· καὶ θηλέων τε βοῶν οὔ τοι γευόμενοι, διότιπερ οὐδὲ Αἰγύπτιοι, καὶ ὗς οὐ τρέφοντες. βοῶν μέν νυν θηλέων οὐδ' αἱ Κυρηναίων γυναῖκες δικαιεῦσι ἀπτέεσθαι [b], διὰ τὴν ἐν Αἰγύπτῳ Ἶσιν, ἀλλὰ καὶ νηστείας αὐτῇ καὶ ὁρτὰς ἐπιτελέουσι· αἱ δὲ τῶν Βαρκαίων γυναῖκες οὐδὲ ὑῶν πρὸς τῇσι βουσὶ γεύονται. ταῦτα μὲν δὴ οὕτω ἔχει.

ρπζʹ. Τὸ δὲ πρὸς ἑσπέρης τῆς Τριτω-

[a] γὰρ ἠδυναίατο. [b] πατέεσθαι.

νίδος λίμνης ὀυκέτι νομάδες εἰσὶ Λίβυες, ὀυδὲ νόμοισι τοῖσι αὐτοῖσι χρεώμενοι, οὐδὲ κατὰ τὰ παιδία ποιεῦντες οἷόν τι καὶ οἱ νομάδες ἐώθασι ποιέειν. οἱ γὰρ δὴ τῶν Λιβύων νομάδες, εἰ μὲν πάντες, οὐκ ἔχω ἀτρεκέως τοῦτο εἰπεῖν [c]· ποιεῦσι δὲ αὐτῶν συχνοὶ τοιάδε. τῶν παιδίων τῶν σφετέρων, ἐπεὰν τετραετὲς γένηται, οἴσπη [d] προβάτων καίουσι τὰς ἐν τῇσι κορυφῇσι φλέβας· μετεξέτεροι δὲ αὐτέων, τὰς ἐν τοῖσι κροτάφοισι, τοῦδε εἵνεκα, ὡς μή σφεας ἐς τὸν πάντα χρόνον καταῤῥέον φλέγμα ἐκ τῆς κεφαλῆς δηλῆται. καὶ διὰ τοῦτό σφεας λέγουσι εἶναι ὑγιηροτάτους (εἰσὶ γὰρ ὡς ἀληθέως οἱ Λίβυες ἀνθρώπων πάντων ὑγιηρότατοι, τῶν ἡμεῖς ἴδμεν· εἰ μὲν διὰ τοῦτο, οὐκ ἔχω ἀτρεκέως εἰπεῖν [e], ὑγιηρότατοι δ' ὦν εἰσί) ἢν δὲ καίουσι τὰ παιδία σπασμὸς ἐπιγένηται, ἐξεύρηταί σφι ἄκος· τράγου γὰρ οὖρον σπείσαντες ῥύονταί σφεας. λέγω δὲ τὰ λέγουσι αὐτοὶ Λίβυες.

[c] εἶπαι. [d] οἰσύπῃ. [e] εἶπαι.

paludis jam non ſunt paſcuales Afri, neque eiſdem moribus utentes, neque idem circa infantes quod paſcuales ſolent, factitantes. Nam Afrorum qui paſtorales ſunt plerique hoc faciunt, an omnes, non queo pro certo dicere. Ubi filii ipſorum quadrimi effecti ſunt, venas verticis illorum lana ovium ſuccida inurunt, nonnulli venas temporum: eam ob cauſſam ne eis ullo unquam tempore phlegma, *id eſt*, *pituita*, defluens e capite, officiat. eaque de re ſe ajunt eſſe optima valetudine. Et ſunt revera Afri inter omnes quos nos novimus homines ſaluberrimo corpore: incertum mihi an ob hanc utique cauſſam, certe optima valetudine ſunt. Quod ſi pueris inurendis convulſio exiſtat, inventa eſt ab eis medicina. urina enim hirci aſperſa eos liberant. Ea autem refero quae Afri ipſi narrant.

188. Porro ſacrificia apud paſtoricios talia ſunt: Ubi pro primitiis aurem pecudis praeſecuerunt, eam ſupra domum abjiciunt: hoc acto, cervicem ejus avertunt. ſolis autem immolant Soli et Lunae. et his quidem univerſi Afri ſacrificant: at qui circa Tritonidem paludem incolunt, etiam Minervae inprimis, tum Tritoni ac Neptuno.

189. A quibus Afris Graeci veſtem et aegidas ſimulacrorum Minervae mutuati ſunt; praeterquam enim quod coriacea ſit veſtis Africanarum, et prodeuntes ex aegidibus ipſi fimbriae non ſunt ſerpentes, ſed e loris factae: cetera vero omnia ad eandem formam effiкta eſt: nomine quoque ipſo teſtificante veniſſe ex Africa Palladiorum ſtolam. Quippe Africanae mulieres circa veſtem amiciuntur nudis aegidibus, *caprinis pellibus non villoſis*, fimbriatis ac rubrica delibutis, a qui-

ρπη'. Θυσίαι δὲ τοῖσι νομάσι εἰσὶ αἵδε. ἐπεὰν τοῦ ὠτὸς ἀπάρξωνται τοῦ κτήνεος, ῥιπτέουσι ὑπὲρ τὸν δόμον. τοῦτο δὲ ποιήσαντες, ἀποστρέφουσι τὸν αὐχένα αὐτοῦ. θύουσι δὲ ἡλίῳ καὶ σελήνῃ μούνοισι. τούτοισι μέν νυν πάντες Λίβυες θύουσι· ἀτὰρ οἱ περὶ τὴν Τριτωνίδα λίμνην νέμοντες, τῇ Ἀθηναίῃ μάλιστα, μετὰ δὲ, τῷ Τρίτωνι καὶ τῷ Ποσειδέωνι.

ρπθ'. Τὴν δὲ ἄρα ἐσθῆτα καὶ τὰς αἰγίδας τῶν ἀγαλμάτων τῆς Ἀθηναίης ἐκ τῶν Λιβυσσέων ἐποιήσαντο οἱ Ἕλληνες. πλὴν γὰρ ἢ ὅτι [a] σκυτίνη ἡ ἐσθὴς τῶν Λιβυσσέων ἐστὶ, καὶ οἱ θύσανοι, οἱ ἐκ τῶν αἰγίδων αὐτῇ εἰσι [b], οὐκ ὄφιές εἰσι, ἀλλὰ ἱμάντινοι· τὰ δὲ ἄλλα πάντα κατὰ τὠυτὸ ἔσταλται. καὶ δὴ καὶ τοὔνομα κατηγορέει ὅτι ἐκ Λιβύης ἥκει ἡ στολὴ τῶν Παλλαδίων. αἰγίδας γὰρ περιβάλλονται ψιλὰς περὶ τὴν ἐσθῆτα θυσανωτὰς αἱ Λίβυσσαι, κεχριμένας ἐρευθεδάνῳ. ἐκ δὲ

[a] γάρ ὅτι. [b] αὐτῇσι.

τῶν αἰγέων τουτέων αἰγίδας οἱ Ἕλληνες μετωνόμασαν. δοκέει δή ἔμοι γε καὶ ὀλολυγὴ ἐν ἱροῖσι ἐνθαῦτα πρῶτον γενέσθαι. κάρτα γὰρ ταύτῃ χρέωνται καλῶς αἱ Λίβυσσαι. καὶ τέσσερας ἵππους συζευγνύναι [c] παρὰ Λιβύων οἱ Ἕλληνες μεμαθήκασι.

ρϛ'. Θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας οἱ νομάδες, κατάπερ οἱ Ἕλληνες, πλὴν Νασαμώνων. οὗτοι δὲ κατημένους θάπτουσι, φυλάσσοντες, ἐπεὰν ἀπίῃ τὴν ψυχὴν, ὅκως μιν κατίσουσι, μηδὲ ὕπτιος ἀποθανέεται. οἰκήματα δὲ σύμπηκτα ἐξ ἀνθερίκων ἐνειρμένων [d] περὶ σχοίνους ἐστὶ, καὶ ταῦτα περιφορητά. νόμοισι μὲν τοιούτοισι οὗτοι χρέωνται.

ρϛα'. Τὸ δὲ πρὸς ἑσπέρης [e] τοῦ Τρίτωνος ποταμοῦ, Αὐσέων ἔχονται ἀροτῆρες ἤδη Λίβυες, καὶ οἰκίας νομίζοντες ἐκτῆσθαι, τοῖσι οὔνομα κέεται Μάξυες· οἳ τὰ ἐπιδέξια τῶν κεφαλέων κομόωσι, τὰ δ' ἐ-

[c] ζευγνῦναι. [d] ἐνερμένων. [e] ἑσπέρην.

bus aegeis, *caprinis pellibus*, aegidas denominavere Graeci. Quinetiam hinc primum mihi videtur ejulatus in templis extitisse, quod eo Africanae mulieres vehementer utuntur ac belle. Et ab Africa quadrijugos equos jungere Graeci didicere.

190. Sepeliunt autem pastorales Afri defunctos ut Graeci, praeter Nasamones, qui illos sedentes sepeliunt, observantes ut dum quis coepit agere animam, eum sedentem constituant, ne supinus expiret. Domicilia eorum sunt compacta ex asphodeli caulibus immissis circa juncos, et ea quoquoversus mobilia. Et isti quidem talibus utuntur moribus.

191. Contingunt autem hos Ausenses ab occidentali parte Tritonis fluminis ii Afri qui sunt aratores, et domos possidere in usu habent; quibus nomen impositum est Maxyes, qui dextram capitis

partem comatam gestant, sinistram tondent, corpus minio tingunt, asseverantes se a Trojanis esse oriundos. Regio autem haec et reliqua Africae ad occidentem vergens, multo frequentior est feris sylvisque quam regio pastoralium. Nam quae ad auroram Africae respicit, quam pastorales incolunt, Tritone flumine tenus et depressa est et arenosa: hinc deinceps quae aratorum est, vesperam spectans, montana valde est ac nemorosa, ferisque frequens. Siquidem apud hos et serpentes sunt supra modum grandes ac leones, elephantes quoque et ursi, et aspides, et asini cornibus praediti; et cynocephali, *capita canina habentes*, et acephali, *non habentes capita*, qui in pectoribus oculos habent, ut ab Afris memorantur, viri feminaeque ferae, et aliae permultae ferae haud ementitae.

192. Quorum nihil apud pastorales

παριστερὰ κείρουσι· τὸ δὲ σῶμα μίλτῳ χρίονται. φασὶ δὲ ὗτοι εἶναι τῶν ἐκ Τροίης ἀνδρῶν. ἡ δὲ χώρη αὕτη τε καὶ ἡ λοιπὴ τῆς Λιβύης ἡ πρὸς ἑσπέρην, πολλῷ θηριωδεστέρη τε καὶ δασυτέρη ἐστὶ τῆς τῶν νομάδων χώρης. ἡ μὲν γὰρ δὴ πρὸς τὴν ἠῶ τῆς Λιβύης, τὴν οἱ νομάδες νέμουσι, ἐστὶ ταπεινή τε καὶ ψαμμώδης, μέχρι τοῦ Τρίτωνος ποταμοῦ. ἡ δὲ ἀπὸ τούτου τὸ πρὸς ἑσπέρην, ἡ τῶν ἀροτήρων, ὀρεινή τε κάρτα καὶ δασέα καὶ θηριώδης. καὶ γὰρ οἱ ὄφιές οἱ ὑπερμεγάθεες, καὶ οἱ λέοντες κατὰ τούτους εἰσὶ, καὶ οἱ ἐλέφαντές τε καὶ ἄρκτοι, καὶ ἀσπίδες τε καὶ ὄνοι οἱ τὰ κέρεα ἔχοντες· καὶ οἱ κυνοκέφαλοι, καὶ οἱ ἀκέφαλοι οἱ [f] ἐν τοῖσι στήθεσι τοὺς ὀφθαλμοὺς ἔχοντες (ὡς δὴ λέγονταί γε [g] ὑπὸ Λιβύων) καὶ ἄγριοι ἄνδρες, καὶ γυναῖκες ἄγριαι, καὶ ἄλλα πλήθεϊ πολλὰ θηρία ἀκατάψευστα.

ρϟβ΄. Κατὰ τοὺς Νομάδας δέ ἐστι τουτέων

[f] καὶ οἱ κυνοκέφαλοι, οἱ. [g] λέγεταί γε.

οὐδὲν, ἀλλ' ἄλλα τοιάδε [a], πύγαργοι, καὶ ζορκάδες, καὶ βουβάλιες, καὶ ὄνοι οὐκ οἱ τὰ κέρεα ἔχοντες, ἀλλὰ ἄλλοι ἄποτοι· οὐ γὰρ δὴ πίνουσι· καὶ ὄρυες, (τῶν τὰ κέρεα [b] τοῖσι Φοίνιξι οἱ πήχεες ποιεῦνται· μέγαθος δὲ τὸ θηρίον τοῦτο κατὰ βοῦν ἐστί) καὶ βασσάρια, καὶ ὕαιναι, καὶ ὕστριχες, καὶ κριοὶ ἄγριοι, καὶ δίκτυες, καὶ θῶες, καὶ πάνθηρες, καὶ βόρυες, καὶ κροκόδειλοι ὅσον τε τριπήχεες χερσαῖοι, τῇσι σαύρῃσι ἐμφερέστατοι· καὶ στρουθοὶ κατάγαιοι, καὶ ὄφιες μικροὶ, κέρας ἓν ἕκαστος ἔχοντες. ταῦτά τε δὴ αὐτόθι ἐστὶ θηρία, καὶ ἅπερ τῇ ἄλλῃ, πλὴν ἐλάφου τε καὶ ὑὸς ἀγρίου. ἔλαφος δὲ καὶ ὗς ἄγριος ἐν Λιβύῃ πάμπαν οὐκ ἐστι. μυῶν δὲ γένεα τριξὰ αὐτόθι ἐστί· οἱ μὲν, δίποδες καλέονται· οἱ δὲ, ζεγέριες· (τὸ δὲ οὔνομα τοῦτο ἐστι μὲν Λιβυκὸν, δύναται δὲ κατ' Ἑλλάδα γλῶσσαν, βουνοί) οἱ δὲ, ἐχινέες [c]. εἰσὶ δὲ καὶ γαλαῖ ἐν τῷ σιλφίῳ γινόμεναι, τῇσι Ταρτησσίῃσι ὁμοιόταται. τοσαῦτα μέν νυν θηρία ἡ

[a] τάδε. [b] τῶν κατὰ κέρεα. [c] ἐχῖνες.

est, ſed alia, veluti pygargi, et capreae, et bubali, et aſini, non illi quidem cornua habentes, ſed alii impoti: nunquam enim bibunt; et oryes, quorum cornua Phoenicibus inſerviunt ad fidium normas in cithara. hujus ferae magnitudo eſt ad bovem: et baſſaria, et hyaenae, et hyſtriches, et arietes feri, et dictyes, et thoës, et pantherae, et boryes, et crocodili tricubitales ferme terreſtres, lacertis ſimillimi et ſtruthi ſubterranei, et ſerpentes puſilli cum ſingulis cornibus. Hae ſunt illic ferae, et item ceterae quae alibi, praeter cervum et aprum. cervus enim et aper prorſus in Africa nullus eſt. Sunt ibidem quoque tria murium genera, quorum alii bipedes vocantur, alii zegeries, Africana lingua (quod in Graeca pollet idem quod *βουνοὶ, colles*) alii echines. Sunt praeterea muſtelae quae in ſilphio naſcuntur, Tarteſſiacis ſimillimae. Tot

habet feras Afrorum paſtoralium regio, quantum nos maxime ſcrutando longiſſime inveſtigare potuimus.

193. Maxyum autem Afrorum confines ſunt Zaueces, quibus feminae aurigantur currus ad bellum.

194. His finitimi ſunt Zygantes, ubi magnam vim mellis apes conficiunt, ſed multo plus opifices viri facere dicuntur. omnes autem minio inficiuntur, ac ſimiis veſcuntur, quarum eſt affatim iis in montibus naſcentium.

195. Juxta hos ajunt Carthaginienſes ſitam eſſe inſulam nomine Cyranin, ducentorum ſtadiorum longitudine, arctam latitudine, in quam tranſire e continente poteſt, oleis refertam ac vitibus; et in ea eſſe lacum, unde virgines indigenarum pennis volucrum pice illitis ramenta auri referunt e limo. Haec an vera ſint haud equidem ſcio, ſed quae nar-

τῶν Νομάδων Λιβύων γῆ ἔχει, ὅσον ἡμεῖς ἱστορέοντες ἐπὶ μακρότατον οἷοί τε ἐγενόμεθα ἐξικέσθαι.

ρϟγ΄. Μαξύων δὲ Λιβύων Ζαύηκες ἔχονται, τοῖσι αἱ γυναῖκες ἡνιοχεῦσι τὰ ἅρματα ἐς τὸν πόλεμον.

ρϟδ΄. Τούτων δὲ Ζύγαντες [d] ἔχονται, ἐν τοῖσι μέλι μὲν πολλὸν μέλισσαι κατεργάζονται, πολλῷ δ' ἔτι πλέον λέγεται δημιουργοὺς ἄνδρας ποιέειν. μιλτοῦνται δ' ὦν πάντες οὗτοι, καὶ πιθηκοφαγέουσι· οἱ δέ σφι ἄφθονοι ὅσοι ἐν τοῖσι οὔρεσι γίνονται.

ρϟε΄. Κατὰ τούτους δὲ λέγουσι Καρχηδόνιοι κέεσθαι νῆσον τῇ οὔνομα εἶναι Κύρανιν [e]. μῆκος μὲν, διηκοσίων σταδίων, πλάτος δὲ, στεινὴν, διαβατὸν ἐκ τῆς ἠπείρου· ἐλαιέων τε μεστὴν καὶ ἀμπέλων. λίμνην δὲ ἐν αὐτῇ εἶναι, ἐκ τῆς αἱ παρθένοι τῶν ἐπιχωρίων, πτεροῖσι ὀρνίθων κεχριμένοισι πίσσῃ, ἐκ τῆς ἰλύος ψῆγμα ἀναφέρουσι χρυσοῦ. ταῦτα εἰ μέν ἐστι ἀληθέως, οὐκ οἶ-

[d] MS. Γύζαντες. [e] MS. Κυραύνιν.

δα, τὰ δὲ λέγεται γράφω. εἴη δ' ἂν πᾶν, ὅκου καὶ ἐν Ζακύνθῳ ἐκ λίμνης καὶ ὕδατος πίσσαν ἀναφερομένην αὐτὸς ἐγὼ ὥρεον, εἰσὶ μὲν καὶ πλεῦνες αἱ λίμναι αὐτόθι· ἡ δ' ὦν μεγίστη αὐτέων, ἑβδομήκοντα ποδῶν πάντη, βάθος δὲ, διόργυιός ἐστι· ἐς ταύτην κοντὸν κατιεῖσι, ἐπ' ἄκρῳ μυρσίνην προσδήσαντες, καὶ ἔπειτα ἀναφέρουσι τῇ μυρσίνῃ πίσσαν, ὀδμὴν μὲν ἔχουσαν ἀσφάλτου, τὰ δ' ἄλλα, τῆς Πιερικῆς πίσσης ἀμείνω. ἐγχέουσι δὲ ἐς λάκκον ὀρωρυγμένον ἀγχοῦ τῆς λίμνης. ἐπεὰν δὲ ἀθροίσωσι συχνὴν, οὕτω ἐς τοὺς ἀμφορέας ἐκ τοῦ λάκκου καταχέουσι. ὅ, τι δ' ἂν ἐσπέσῃ ἐς † τὴν λίμνην, ὑπὸ γῆν ἰὸν, ἀναφαίνεται ἐν τῇ θαλάσσῃ. ἡ δὲ ἀπέχει ὡς τέσσερα στάδια ἀπὸ τῆς λίμνης. οὕτω ὦν καὶ τὰ ἀπὸ τῆς νήσου τῆς ἐπὶ Λιβύῃ κειμένης οἰκότα ἐστὶ ἀληθηίην.

ρϟϛ΄. Λέγουσι δὲ καὶ τάδε Καρχηδόνιοι, εἶναι τῆς Λιβύης χῶρόν τε καὶ ἀνθρώπους

† ἐσπίσοι ἐς.

rantur scribo. Fuerit autem totum, ut ipse ego in Zacyntho vidi picem e lacu et aqua referri. Sunt eo loci quoque complures lacus, quorum qui maximus, septuaginta quoquoversus pedum est, altitudinis duûm orgyiarum, in hunc dimittunt contum, cujus in summitate myrtus alligata est, deinde efferunt myrto picem, odorem quidem bituminis habentem, sed cetera praestantiorem pice Pieriâ: eamque in scrobem quam juxta lacum foderunt, infundunt, et ubi multum illius aggesserunt, ita e scrobe in amphoras transfundunt. Quicquid autem in lacum decidit, id sub terram means rursus apparet in mari, quod a lacu quatuor stadiis abest. Ita quae de insula adjacenti Africae dicuntur, consentanea sunt veritati.

196. Ajunt praeterea Carthaginienses, locum esse Africae extra columnas

Herculis habitatum hominibus: eo quoties ipſi applicuere, ſe merces e navibus exponere, eaſque in crepidine terrae ordine collocare; tum conſcenſis navibus fumum excitare: fumo autem conſpecto, indigenas ad mare contendere: dehinc auro pro mercibus poſito, procul ab eis abſcedere, tum ſe e navibus egreſſos conſiderare, et ſi dignum mercibus aurum videatur, eo ſumpto abire; ſin minus, conſcenſis iterum navibus conſidere. illos vero accedentes, plus auri ad id quod poſuerunt addere, donec perſuadeant. Neutros autem injuſte agere: neque enim illos aurum attingere, priuſquam illis adaequatum fuerit ratione mercium, neque illos contingere merces priuſquam ipſi ſumpſerint aurum.

197. Atque hi ſunt Afrorum quos nominare poſſumus. quorum plerique neque tunc de rege Medorum curabant

ἔξω Ἡρακληΐων στηλέων κατοικημένους, ἐς τοὺς ἐπεὰν ἀπίκωνται καὶ ἐξέλωνται τὰ φορτία, θέντες αὐτὰ ἐπεξῆς [a] παρὰ τὴν κυματώγην, ἐσβάντες ἐς τὰ πλοῖα, τύφειν καπνόν· τοὺς δ' ἐπιχωρίους, ἰδομένους τὸν καπνὸν, ἰέναι ἐπὶ τὴν θάλασσαν· καὶ ἔπειτα ἀντὶ τῶν φορτίων χρυσὸν τιθέναι, καὶ ἐξαναχωρέειν πρόσω ἀπὸ τῶν φορτίων. τοὺς δὲ Καρχηδονίους ἐκβάντας, σκέπτεσθαι [b]. καὶ ἢν μὲν φαίνηταί σφι ἄξιος ὁ χρυσὸς τῶν φορτίων, ἀπελόμενοι [c] ἀπαλλάσσονται· ἢν δὲ μὴ εἴη ἄξιος [d], ἐσβάντες ὀπίσω ἐς τὰ πλοῖα κατέαται· οἱ δὲ, προσελθόντες, ἄλλον πρὸς ὧν ἔθηκαν χρυσὸν, ἐς οὗ ἂν πείθωσι. ἀδικέειν δὲ οὐδετέρους· οὔτε γὰρ αὐτοὺς τοῦ χρυσοῦ ἅπτεσθαι πρὶν ἄν σφι ἀπισωθῇ τῇ [e] ἀξίῃ τῶν φορτίων, οὔτ' ἐκείνους τῶν φορτίων ἅπτεσθαι πρότερον ἢ αὐτοὶ τὸ χρυσίον λάβωσι.

ρϟζ. Οὗτοι μέν εἰσι τοὺς ἡμεῖς ἔχομεν Λιβύων ὀνομάσαι· καὶ τουτέων οἱ πολλοὶ βασιλῆος τοῦ Μήδων οὔτέ τι νῦν οὔτε

[a] ἐφεξῆς. [b] σκέψασθαι. [c] ἀνελόμενοι. [d] μὴ ἄξιος. [e] ἀπισωθέῃ τῇ.

τότε ἐφρόντιζον οὐδέν. τόσον δὲ ἔτι [f] ἔχω εἰπεῖν περὶ τῆς χώρης ταύτης, ὅτι τέσσερα ἔθνεα νέμεται ταύτην [g], καὶ οὐ πλέω τούτων, ὅσον ἡμεῖς ἴδμεν· καὶ τὰ μὲν δύο, αὐτόχθονα τῶν ἐθνέων, τὰ δὲ δύο, οὔ. Λίβυες μὲν καὶ Αἰθίοπες, αὐτόχθονες· οἱ μὲν, τὰ πρὸς βορέω, οἱ δὲ, τὰ πρὸς νότου τῆς Λιβύης οἰκέοντες· Φοίνικες δὲ καὶ Ἕλληνες, ἐπήλυδες.

ρϟη'. Δοκέει δέ μοι οὐδ' ἀρετὴν εἶναί τις ἡ Λιβύη σπουδαίη, ὥςτε ἢ Ἀσίῃ ἢ Εὐρώπῃ παραβληθῆναι, πλὴν Κίνυπος μούνης. τὸ γὰρ δὴ αὐτὸ οὔνομα ἡ γῆ τῷ ποταμῷ ἔχει. αὕτη δὲ ὁμοίη τῇ ἀρίστῃ γαιέων, Δήμητρος καρπὸν ἐκφέρειν· οὐδὲ οἶκε οὐδὲν τῇ ἄλλῃ Λιβύῃ. μελάγγαιός τε [h] γάρ ἐστι, καὶ ἔπυδρος πίδαξι, καὶ οὔτε αὐχμοῦ φροντίζουσα οὐδὲν, οὔτε ὄμβρον πλέω ποιεῦσα, δεδήληται. ὕεται γὰρ δὴ ταῦτα τῆς Λιβύης. τῶν δὲ ἐκφορίων τοῦ καρποῦ ταὐτὰ μέτρα τῇ Βαβυλωνίῃ γῇ κατίσταται.

f τοσοῦτον δὲ τι. g νέμεται αὐτήν. h MS. tamen hic habet μελάγγειός τε.

quicquam, neque nunc curant. De qua regione eatenus adhuc queo dicere, a quatuor eam nationibus, quantum nos scimus, et non a pluribus incoli: quarum duae sunt indigenae, totidem non indigenae. Indigenae quidem, Afri atque Aethiopes: quorum alteri ad aquilonem, alteri ad notum Africae incolunt; advenae vero, Phoenices et Graeci.

198. Neque vero videtur mihi bonitas Africanae terrae cum bonitate Asiae atque Europae comparanda, praeter unam Cinypem, quae tellus fluvio cognominis est. Haec autem optimae cuique telluri par est proventu fructus cerealis, nec omnino similis est ceterae Africae. Est enim nigra glebis et uda fontibus, ac secura siccitatis aëris: ac ne imbre quidem, qui fit vehementior, laeditur. nam in eo tractu Africae pluit. Ex proventibus autem fructuum terrae, totidem mensurae illic quot e Babylonica tellure per-

cipiuntur. Bonum solum et illud est, quod Euesperitae colunt. nam quoties id eximie seipsum ubertate superat, centuplum reddit: at illud Cinypis, circiter trecenta.

199. Porro Cyrenaica regio quae hujus Africae editissima est, quam pastorales incolunt, tres in se tempestates continet admiratione dignas. Primi enim in locis propter mare fructus desiderant *meti* vindemiarique: his comportatis, media in locis quae supra maritimam sunt, quos bunos appellant comportari fructus appetunt: et simul hic medius fructus collectus est, etiam is qui in editissima plaga, maturuit et idem petit. Itaque primus fructus bibitur atque editur et simul adest ultimus. Atque hunc in modum ad octo menses perceptio fructuum Cyrenaeos occupat. Haec hactenus de his dicta sint.

200. Persae autem ad ulciscendam

ἀγαθὴ δὲ γῆ καὶ τὴν Εὐεσπερῖται νέμονται. ἐπ᾽ ἑκατοςὰ γὰρ, ἐπεὰν αὐτὴ ἑωϋτῆς ἄριςα ἐνείκῃ, ἐκφέρει· ἡ δὲ ἐν τῇ Κίνυπι, ἐπὶ τριηκόσια.

ρϞθ΄. Ἔχει δὲ καὶ ἡ Κυρηναίη χώρη, ἐῦσα ὑψηλοτάτη ταύτης τῆς Λιβύης τὴν οἱ Νομάδες νέμονται, τρεῖς ὥρας [a] ἐν ἑωϋτῇ, ἀξίας θωΰμαλος [b]. πρῶτα μὲν γὰρ τὰ παραθαλάσσια τῶν καρπῶν ὀργᾷ ἀμᾶσθαί τε καὶ τρυγᾶσθαι. τουτέων τε δὴ συγκεκομισμένων, τὰ ὑπερθαλασσιδίων [c] χώρων τὰ μέσα ὀργᾷ συγκομίζεσθαι, τὰ βουνοὺς καλέουσι. συγκεκόμιςαί τε οὗτος ὁ μέσος καρπὸς, καὶ ὁ ἐν τῇ κατυπερτάτῃ τῆς γῆς πεπαίνεταί τε καὶ ὀργᾷ. ὥςτε ἐκπέποταί τε καὶ καταβέβρωται ὁ πρῶτος καρπὸς, καὶ ὁ τελευταῖος συμπαραγίνεται. οὕτω ἐπ᾽ ὀκτὼ μῆνας Κυρηναίους ὀπώρη ἐπέχει. ταῦτα μέν νυν ἐπὶ τοσοῦτον εἰρήσθω.

σ΄. Οἱ δὲ Φερετίμης τιμωροὶ Πέρσαι,

[a] χώρας. [b] MS. θώμαλος. [c] τὰ ὑπὲρ τῶν θαλασσιδίων.

ἐπεί τε ἐκ τῆς Αἰγύπτου σταλέντες ὑπὸ Ἀρυάνδεω, ἀπίκατο[d] ἐς τὴν Βάρκην, ἐπολιόρκεον τὴν πόλιν, ἐπαγγελλόμενοι ἐκδιδόναι τοὺς αἰτίους τοῦ φόνου τοῦ Ἀρκεσίλεω. τῶν δὲ, (πᾶν γὰρ ἦν τὸ πλῆθος μεταίτιον) οὐκ ἐδέκοντο τοὺς λόγους. ἐνθαῦτα δὴ ἐπολιόρκεον τὴν Βάρκην ἐπὶ μῆνας ἐννέα, ὀρύσσοντές τε ὀρύγματα ὑπόγαια, φέροντα ἐς τὸ τεῖχος, καὶ προσβολὰς καρτερὰς ποιεύμενοι. τὰ μέν νυν ὀρύγματα ἀνὴρ χαλκεὺς ἀνεῦρε, ἐπιχάλκῳ ἀσπίδι, ὧδε ἐπιφρασθείς· περιφέρων αὐτὴν ἐντὸς τοῦ τείχεος, προΐσχε[e] πρὸς τὸ δάπεδον τῆς πόλιος. τὰ μὲν δὴ ἄλλα ἔσκε κωφὰ πρὸς τὰ προσίσχε, κατὰ δὲ τὰ ὀρυσσόμενα ἤχεσκε ὁ χαλκὸς τῆς ἀσπίδος. ἀντορύσσοντες δ' ἂν ταύτῃ οἱ Βαρκαῖοι ἔκτεινον τῶν Περσέων τοὺς γεωρυχέοντας. τοῦτο μὲν δὴ οὕτω ἐξευρέθη· τὰς δὲ προσβολὰς ἀπεκρούοντο οἱ Βαρκαῖοι.

σα'. Χρόνων δὲ δὴ πολλῶν τριβομένων,

[d] ἀπίκοντο. [e] προσίσχε.

Pheretimam ab Aryande missi, postquam ex Aegypto Barcen pervenerunt, oppidum obsederunt, missis illico qui denunciarent dedi autores necis Arcesilai. Eorum verbis oppidani, ut qui caedis omnes participes essent, non adnuerunt. Ita novem menses Barcen quum obsedissent Persae subterraneos cuniculos fodientes ad murum ferentes, et validos incursus fecerunt. sed cuniculos quidem faber quidam aerarius deprehendit aereo scuto, sic ratiocinans. Circumferens illud intra murum, admovebat pavimento urbis: et alia quidem quibuscunque admovebatur, erant surda: ad locum autem qui fodiebatur, aes clypei sonabat. ubi contra fodientes Barcaei, Persas terrae fossores interemerunt. sic quidem istud adinventum est. Irruptiones autem Barcaei ipsi repulsabant.

201. Verum quum multum tempo-

ris contereretur, et multi utrinque caderent, nec pauciores ex Persis, Amasis, dux peditatus, talem rem commentus est: Animadvertens Barcaeos vi non posse superari, sed dolo, hoc facit; latam fossam per noctem depressit, eique fragilia superstravit ligna, et super ea humum ingessit, reddens solum cetero aequabile. simulatque illuxit, Barcaeos in colloquium evocat. Illi libenter obtemperavere, quod eis cordi erat ad pactionem venire. Pactionem autem in hanc formulam iniecrunt, inter sacra jurantes super illam occultam fossam: ut quoad humus ea ita se haberet, tamdiu foedus et jusjurandum ratum foret, Barcaeis, quod aequum foret se pensuros regi, et Persis, se nihil rerum novarum adversus Barcaeos esse molituros, promittentibus. Barcaei dehinc foederibus freti, et ipsi ex urbe prodibant, et ex hostibus cuicunque libebat intrandi urbem faciebant potestatem, pate-

καὶ πιπτόντων ἀμφοτέρων πολλῶν, καὶ οὐκ ἧσσον τῶν Περσέων, Ἄμασις, ὁ στρατηγὸς τοῦ πεζοῦ, μηχανᾶται τοιάδε· μαθὼν τοὺς Βαρκαίους, ὡς κατὰ μὲν τὸ ἰσχυρὸν οὐκ αἱρετοὶ εἶεν, δόλῳ δὲ αἱρετοὶ, ποιέει τοιάδε [a]· νυκτὸς τάφρην [b] ὀρύξας εὐρέην, ἐπέτεινε ξύλα ἀσθενέα ὑπὲρ αὐτῆς· κατύπερθε δὲ ἐπιπολῆς τῶν ξύλων χοῦν γῆς ἐπεφόρησε, ποιέων τῇ ἄλλῃ γῇ ἰσόπεδον. ἅμα ἡμέρῃ δὲ ἐς λόγους προσεκαλέετο τοὺς Βαρκαίους· οἱ δὲ ἀσπαστῶς ὑπήκουσαν, ἐς ὅ σφι ἕαδε ὁμολογίῃ χρήσασθαι. τὴν δὲ ὁμολογίην ἐποιεῦντο τοιήνδέ τινα. ἐπὶ τῆς κρυπτῆς τάφρου τάμνοντες ὅρκια, ἔστ' ἂν ἡ γῆ αὕτη οὕτω ἔχῃ, μένειν τὸ ὅρκιον κατὰ χώρην· καὶ Βαρκαίους τε ὑποτελέειν [c] φάναι ἀξίην βασιλέϊ, καὶ Πέρσας μηδὲν ἄλλο νεοχμοῦν κατὰ Βαρκαίους [d]. μετὰ δὲ τὸ ὅρκιον, Βαρκαῖοι μὲν πιστεύσαντες τούτοισι, αὐτοί τε ἐξήεσαν ἐκ τοῦ ἄστεος, καὶ τῶν πολεμίων ἔων παριέναι ἐς τὸ

[a] τάδε. [b] τάφρον. [c] ὑποτελέειν. [d] Βαρκαίων.

τεῖχος τὸν βȣλόμενον, τὰς πύλας πάσας ἀνοίξαντες. οἱ δὲ Πέρσαι καταῤῥήξαντες τὴν κρυπτὴν γέφυραν, ἔθεον ἔσω [e] ἐς τὸ τεῖχος· κατέῤῥηξαν δὲ τȣ̃δε εἵνεκα τὴν ἐποίησαν γέφυραν, ἵνα ἐμπεδορκέοιεν, ταμόντες τοῖσι Βαρκαίοισι χρόνον μένειν αἰεὶ τὸ ὅρκιον ὅσον ἂν ἡ γῆ μένῃ κατὰ τὰ τότε εἶχε· καταῤῥήξασι δὲ, ȣ̓κέτι ἔμενε τὸ ὅρκιον κατὰ χώρην.

σϐʹ. Τȣ̀ς μέν νυν αἰτιωτάτȣς τῶν Βαρκαίων ἡ Φερετίμη, ἐπεί τε οἱ ἐκ τῶν Περσέων παρεδόθησαν, ἀνεσκολόπισε κύκλῳ τȣ̃ τείχεος· τῶν δέ σφι γυναικῶν τȣ̀ς μαζοὺς ἀποταμȣ̃σα, περιέστιξε καὶ τȣ́τοισι τὸ τεῖχος. τȣ̀ς δὲ λοιπȣ̀ς τῶν Βαρκαίων, ληΐην ἐκέλευσε θέσθαι τοὺς Πέρσας, πλὴν ὅσοι αὐτέων ἔσαν Βαττιάδαι τε καὶ τȣ̃ φόνȣ ȣ̓ μεταίτιοι· τȣ́τοισι δὲ τὴν πόλιν ἐπέτρεψε ἡ Φερετίμη.

σγʹ. Τȣ̀ς ὦν δὴ λοιπȣ̀ς τῶν Βαρκαίων οἱ Πέρσαι ἀνδραποδισάμενοι [f] ἀπήεσαν ὀπίσω· καὶ ἐπεί τε ἐπὶ τῇ Κυρηναίων πόλι

[e] ἔθεον ἴσω. [f] ἐξανδραποδισάμενοι.

factis omnibus portis. At Perſae reſciſſo ponte occulto in urbem foras prorupe-runt: id eo autem pontem quem fece-rant reſciderunt, ut ſtarent jurejurando, quo cum Barcaeis pacti erant, tamdiu ra-tum fore foedus quamdiu maneret terra in ſtatu, quem tunc habebat: refracto e-nim ponte, non manebat jusjurandum in ſuo loco amplius.

202. Pheretima deditos ſibi a Perſis Barcaeos qui faciendae caedis principes fuerant, crucibus ſuffixit per ambitum murorum. Feminarum quoque deciſas mammas circa muros appendit. Ceteros Barcaeos Perſis ut diriperent imperavit, praeter Battiadas, et qui caedis affines non extiterant, hiſque urbem permiſit Phere-tima.

203. Reliquis igitur Barcaeorum in ſervitutem abreptis Perſae redierunt. qui quum ad urbem Cyrenen rediſſent, Cy-

renaei eos oraculi cujusdam servandi gratia, per urbem deduxerunt. sed inter transeundum praefectus navalis exercitus Bares illis praecepit, ut urbem diriperent, recusante Amasi peditum duce. se enim adversus unam Barcen Graecam civitatem esse missos. Verum postquam transierunt, et ad collem Lycaei Jovis subsederunt, poenitentia eos subiit quod Cyrenen non occupassent: eamque iterum ingredi conati sunt, Cyrenaeis non permittentibus. Et licet nemo contra ferret arma, tamen incessit eis metus: illincque cursu se proripientes sexaginta circiter stadia consederunt. ubi stativa habentibus, ab Aryande nuncius advenit ad eos revocandos. Quum igitur a Cyrenaeis commeatum sibi praeberi precati essent Persae, et eum accepissent, in Aegyptum revertebantur. Quos deinde Afri excipientes, vestitus atque utensilium gratia, ut quisque relinquebatur trahebaturque, interficiebant, donec in

ἐπέστησαν, οἱ Κυρηναῖοι λόγιόν τι ἀποσεισύμενοι διεξῆκαν αὐτοὺς διὰ τοῦ ἄστεος. διεξιούσης δὲ τῆς στρατιῆς, Βάρκης μὲν ὁ τοῦ ναυτικοῦ στρατοῦ στρατηγὸς ἐκέλευε αἱρέειν τὴν πόλιν, Ἀμασις δὲ ὁ τοῦ πεζοῦ, οὐκ ἔα· ἐπὶ Βάρκην γὰρ ἀποσταλῆναι μούνην Ἑλληνίδα πόλιν. ἐς ὃ διεξελθοῦσι, καὶ ἱζομένοισι ἐπὶ Διὸς Λυκαίου ὄχθον [a], μετεμέλησέ σφι οὐ σχοῦσι τὴν Κυρήνην, καὶ ἐπειρῶντο τοδεύτερον παριέναι ἐς αὐτήν. οἱ δὲ Κυρηναῖοι οὐ περιώρεον. τοῖσι δὲ Πέρσῃσι, οὐδενὸς μαχομένου, φόβος ἐνέπεσε· ἀποδραμόντες δὲ ὅσον ἑξήκοντα στάδια, ἵζοντο. ἱδρυθέντι δὲ τῷ στρατοπέδῳ ταύτῃ ἦλθε παρὰ Ἀρυάνδεω ἄγγελος, ἀποκαλέων αὐτούς. οἱ δὲ Πέρσαι, Κυρηναίων δεηθέντες ἐφόδιά σφι [b] δοῦναι, ἔτυχον. λαβόντες δὲ ταῦτα, ἀπαλλάσσοντο ἐς τὴν Αἴγυπτον. παραλαβόντες δὲ τοενθεῦτεν αὐτοὺς Λίβυες, τῆς τε ἐσθῆτος εἵνεκα καὶ τῆς σκευῆς, τοὺς ὑπολειπομένους αὐτέων καὶ ἐπελκομένους ἐφόνευον, ἐς ὃ

[a] ὄχθην. [b] ἐπόδιά σφι.

ἐς τὴν Αἴγυπτον ἀπικέατο [c].

σδ´. Οὗτος ὁ Περσέων στρατὸς τῆς Λιβύης ἑκαστάτω ἐς Εὐεσπερίδας ἦλθε. τοὺς δὲ ἠνδραποδίσαντο τῶν Βαρκαίων, τούτους δὲ ἐκ τῆς Αἰγύπτου ἀναστάτους ἐποίησαν παρὰ βασιλῆα. βασιλεὺς δέ σφι Δαρεῖος ἔδωκε τῆς Βακτρίης χώρης κώμην ἐγκατοικῆσαι. οἱ δὲ τῇ κώμῃ ταύτῃ οὔνομα ἔθεντο Βάρκην, ἥπερ ἔτι καὶ ἐς ἐμὲ ἦν οἰκεομένη ἐν τῇ γῇ τῇ Βακτρίῃ.

σε´. Οὐ μὲν οὐδὲ ἡ Φερετίμη εὖ τὴν ζόην κατέπληξε. ὡς γὰρ δὴ τάχιστα ἐκ τῆς Λιβύης τισαμένη τοὺς Βαρκαίους ἀπενόστησε ἐς τὴν Αἴγυπτον, ἀπέθανε κακῶς. ζῶσα γὰρ εὐλέων ἐξέζεσε. ὡς ἄρα ἀνθρώποισι αἱ λίην ἰσχυραὶ τιμωρίαι πρὸς θεῶν ἐπίφθονοι γίνονται. ἡ μὲν δὴ Φερετίμης τῆς Βάττεω τοιαύτη τε καὶ τοσαύτη τιμωρίη ἐγένετο ἐς Βαρκαίους.

d MS. ἀπίκοντο.

ΤΟ ΤΗΣ
ΜΕΛΠΟΜΕΝΗΣ,
Ἡ
ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΩΝ ἩΡΟΔΟΤΟΥ
ΤΕΛΟΣ.

Aegyptum perventum est.

204. Hic Persarum exercitus in Africam longissime ad Euesperidas processit. Quos autem Barcaeorum cepere, eos ex Aegypto eduxere ad regem; iis Darius rex ad incolendum dedit vicum Bactrianae regionis, (cui vico nomen imposuere Barcae) ad meam usque memoriam etiam incolis in Bactriana regione frequentem.

205. Verum ne ipsa quidem Pheretima facilem vitae finem habuit. nam simulatque ulta Barcaeos ex Africa in Aegyptum rediit, male periit. Vivens enim vermibus exaestuavit. Sic acres admodum ultiones hominibus sunt invidiosae apud Deos. Talis ac tanta Pheretimae Batti filiae in Barcaeos vindicta extitit.

MELPOMENES,
SIVE
QUARTI LIBRORUM HERODOTI,
FINIS.



